ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ ΛΟΓΟΣ.

DEMOSTHENIS

DE

FALSA LEGATIONE.

BY THE LATE

RICHARD SHILLETO, M.A.

FELLOW OF PETERHOUSE, CAMBRIDGE.

SEVENTH EDITION

CAMBRIDGE:
DEIGHTON, BELL, AND CO.
LONDON: G. BELL AND SONS.
1890

Cambridge:

PRINTED BY C. J. CLAY, M.A. & SONS,

AT THE UNIVERSITY PRESS.

TO THE

REVEREND R. W. EVANS, M.A.

VICAR OF HEVERSHAM, WESTMORELAND,

FORMERLY FELLOW AND TUTOR OF TRINITY COLLEGE, CAMBRIDGE.

MY DEAR SIR,

I am highly gratified in being permitted to dedicate this Volume to you, one of the most distinguished Pupils of our common Master, Samuel, sometime Lord Bishop of Lichfield.

I had the good fortune to commence my academical career under your Tuition before higher duties called you from Trinity College. My recollections of that period, and more enlarged experience since, assure me that I cannot usher this Edition into the world under more favourable auspices than the sanction of your name: and I most gladly embrace the opportunity now afforded me of expressing at once the high esteem which, in common with all, I entertain towards you, and my grateful sense of your unvaried kindness.

Believe me to remain,

My dear Sir,

Ever yours most faithfully,

RICHARD SHILLETO.

CAMBRIDGE,

November 28, 1844.

PREFACE.

AMONG many arbitrary laws enjoined by prescription, is the obligation of writing a Preface. I obey it the more willingly in the present instance, as I wish to give some explanation of a seeming inconsistency in writing notes in two languages.

I have long convinced myself that the affinity between the Greek tongue and our own is so much closer than that which the Latin bears to either, that I have frequently wondered why so few Scholars have broken through the usage of their forefathers, that a vast majority still continue to explain the Greek idioms and structure through a medium no longer necessary even for foreign readers. And surely one would hope it is from no fear of the cuckoo cry of some *δοκησίσοφοι*, that English note-writing produces slip-shod and slovenly Scholars. If this charge has any foundation, it will equally apply to oral lectures in English, and Lexicons in English, and Grammars in English. Neither, one would fain believe, do they apprehend with the same worthies, that the cultivation of the Latin language is thereby neglected, as though we learnt our Latin style from the traditionary language of heavy and ponderous

Critics, and not from the sources of Classical authors, the well of Latin undefiled. Arnold in England and Heindorf[1] in Germany, either a host in himself, have, amongst others, broken through the trammels of writing commentaries in a hybrid dialect of a dead language. After forming the above expressed opinion, which I came to not without mature reflection, I proceeded some years ago to test it practically by writing notes to a once contemplated edition of a Greek Tragedy. Here I confess I was often perplexed: not that I found myself unable to express my thoughts clearly in my own language upon grammatical and otherwise exegetical matter: but I was sadly at fault on any point purely critical for words of a *technical* nature, if I may use the phrase, where the traditionary Latin of Scholars had created in a manner a vocabulary of its own. I accordingly, on some hundred lines of the Tragedy alluded to, wrote notes in both English and Latin: and the result to which after this process I came, was a deliberate persuasion that explanatory notes ought to be written in one's own language, critical in the Latin. How far I have accurately drawn the line between the two classes of notes in the edition now placed before the public, I will not venture to determine: but I can add that several of the notes written originally in Latin were, on second thoughts, rewritten in English, and *vice versa*. My time too has been far more limited than I could have wished. I was applied to

[1] In his admirable edition of Horace's Satires.

by Messrs Deighton to undertake this edition in the last week of June, and placed myself under an obligation, notwithstanding the most pressing and constant demands upon my time, to bring it out before the end of November, perfectly unconscious, being a complete tyro in publishing, of the arduous work I had before me. This may probably, with candid readers, excuse any mistakes of hurry and oversight: fundamental mistakes I have no right to ask forgiveness for: rather I desire strict enquiry, and fair, but unsparing criticism.

I have no time to enter into the merits of the several MSS. on which the text of Demosthenes is based[1]. It is well known that the Parisian MS. S. (or Σ.) is acknowledged on all hands to be the best: and Bekker (according to the Zurich Editors) has corrected more than 3,000 passages in Demosthenes on its authority. With all deference to the Coryphæus of Critics, I have some misgivings whether he has not himself deferred to its unsupported authority sometimes too hastily, and I am not sure that I ought not more frequently to have, on such occasions, departed from his text. But the Zurich Editors would seem to have extended their regard for this MS. beyond the rational and calm esteem of unimpassioned Critics, and to have hugged it to their bosoms with the "prodigal devotedness" of a tender passion[2]. It omits a word, and to their eye the word

[1] An explanation of the *symbols* used in recording various readings is given below.

[2] I transcribe the first paragraph of their Preface: "Quæ Demosthenis vivi pectus adversum gravissimis vulneribus percutere non destiterat, fortuna

becomes at once an interpolation: it presents a new reading, and forthwith the old is condemned[1]: grammar and sense may be violated by the novelty, but "Codex Parisiensis Σ." is *unus instar omnium.*

Now I am not myself prepared to say: "Malo cum Codice Parisiensi Σ. errare quam, &c." The MS. was undoubtedly transcribed by a learned, acute, and careful copyist: but I shrewdly suspect that his very learning and acuteness had led him occasionally to meddle with the text[2] (precisely as a modern Critic would do), and in other respects he shares in the common lot of humanity, and has not escaped oversights and slips of the pen. After the reader has perused the Critical Annotation of this edition, I shall feel mortified if he does not fall in with my opinion. I have invariably given (or at least in-

mortui memoriam pie coluit et illustravit. Demosthenis enim exemplum patriæ, libertatis, sanctissimorum omnium vindices generosissimi ad hunc usque diem admirabundi intuentur. Demosthenem quisquis eloquentiæ perfectæ formam animo comprehensam habet imitando exprimere studet, Demosthenis orationes etiam nunc fere omnes extant, Demosthenis denique superest Codex Parisiensis Σ." So pure a specimen of bathos, one which will hardly be paralleled in the 19th century, surely must have sprung from the "seething brains" and "shaping fantasies" of the most romantic and chivalrous affection, which "sees Helen's beauty in a brow of Egypt."

[1] With the exception of such confusions as are found in all MSS., e.g. $\overline{\alpha\iota}$ for $\overline{\epsilon}$, $\overline{\eta}$ for $\overline{\iota}$, and so forth.

[2] This opinion is held also by Professor W. Dindorf. [i. e. in the smaller Edition: "Quanquam caute illo libro utendum est, quippe doctas indoctasque grammaticorum manus non uno in loco experto." (Praef. p. 1.) His general opinion of this MS. has been somewhat modified: for in his Oxford Edition (Praef. p. ix.) he writes: "Non dubitavi ad hujus potissimum Codicis auctoritatem oratoris verba exigere, et severiore quidem lege quam in Editione minore ante hos duodeviginti annos alio consilio suscepta feceram: quanquam cavendum ab altera parte fuit ne quae huic Codici fides merito habetur in nimiam admirationem verteret."]

tended to give) the readings of this MS.[1], and I venture to anticipate that I have reduced it from the giant dimensions, which the Zurich Editors have invested it with, to the ordinary proportions of full-grown stature.

The argument for the overwhelming ascendancy of this MS. is of course entirely drawn from internal evidence. Now that obviously is to be determined by critical judgment, and I leave the reader to draw his own opinion from my list of various readings in the Annotatio Critica. The Zurich Editors appear to lay some stress on the fact that this MS. records the number of lines[2] in which each oration was originally written, and hence infer that the speeches of Demosthenes were interpolated by the early grammarians, as the numbers do not tally with the received text of Demosthenes. But granting that the speeches have been interpolated (which by the way is not proved from this, unless we accede also to the obelisks of Aristarchus and others in commenting upon Homer), what follows? Certainly it is not a consequence that the copyist of the "Cod. Σ." has detected all the glosses, however "keen and fine-nosed" he was at hunting them out: for after my investigation of the MS. I am persuaded that I am no more begging the question when I affirm that the copyist acted on the emendatory principle in transcribing, than the Zurich Editors, who maintain that he transcribed from an older copy, not as yet adulte-

[1] As also the various readings of Bekker's and the Zurich Editions.

[2] See p. 275 of this edition.

rated by the grammarians. Besides, the numbers are found in other MSS., as themselves bear witness, which MSS. however abound with the (supposed) interpolations.

Certain points on which I differ from Bekker (to whose text I have adhered as closely as possible) I proceed to enumerate. I have invariably written *αὑτῶν*, whenever the word referred either to the primary or secondary subject of the sentence. I have also written *τἄλλα* (not *τἆλλα*, which I do not understand), and in the termination of the infinitive of verbs in *-άω*, and in adverbs ending in *-ῇ* (as *πανταχῇ*), I have omitted *ι subscriptum*. On all these points I conceive I have good warrant.

The figures on the outer margin denote Reiske's pages; those on the inner the sections of Bekker's Oxford Edition. I have retained the latter, mainly because they are always quoted in Thirlwall's History of Greece, and should have cited passages from the other Orators in the same manner, had I not preferred to add to the paging of Stephens Reiske's[1] also, which, though omitted in the editions of Bekker and Dindorf, are generally referred to by German writers, e.g. Boeckh's Public Economy.

I have cited passages from the Tragedians and Aristophanes, according to Dindorf's Poetae Scenici.

The following "Elenchus Codicum" is taken from Bekker's and Reiske's editions. I have also received

[1] With the single exception of Isocrates [whom Reiske did not edit.]

some help from the Zurich edition, and I have adopted its *symbols* in noting down the various readings from the Parisian MSS. collated by Morell, and subsequently (but with less industry) by Lambinus.

ELENCHUS CODICUM[1].

F. Cod. Marcianus 416., membranaceus, forma maxima. Lectiones hujus Codicis proxime ad B. accedunt[2].

S. [Σ. Ed. Turic.] Parisiensis Regius 2934. (olim 125. et 2137.), membranaceus, forma maxima.

Y. (Υ. Ed. Turic.) Parisiensis Regius 2935. (olim 2819.), membranaceus, forma maxima.

Q. (Φ. Ed. Turic.), Marcianus 418., membranaceus, forma quadrata.

O. (Ω. Ed. Turic.) 43. Societatis Jesu Antverpiae, chartaceus, forma maxima. "Lectio (ait Bekk.) proxime accedit ad S."

k. Parisiensis Regius 2998. (olim 264. et 2766.), bombycinus, forma quadrata. Proxime accedit ad A^1.

r. Parisiensis Regius 2936. (olim 380. et 2118., inter Colbertinos 2796., in Catalogo Codicum Graecorum Nicolai Rodulphi Cardinalis 17.), membranaceus, forma maxima.

s. Parisiensis Regius 2940., bombycinus, forma quadrata. Eundem esse credunt quem a^m. appellamus, quanquam aliam Lambinus aliam Bekkerus nonnullis in locis lectionem enotarunt. Ceterum saepenumero cum k. et A^1. consentit.

t. Parisiensis Regius 2294., membranaceus.

[1] "Primae quidem classis unus superest Parisinus S.; secundae princeps est Marcianus Venetus (F) ejusque vel simillimi ei Codicis apographum in Bibliotheca Regia Monacensi asservatum (B); tertiae nullus dum innotuit aut antiquior aut melior quam alius ejusdem Bibliothecae, olim Augustanus (A)." Dind. Praef. nov. Ed. [Oxon. MDCCCXLVI.] p. vi.

[2] Vid. Dind. ubi supr.

u. Parisiensis Coislinianus 324., chartaceus, forma maxima.

v. Parisiensis Coislinianus 339., membranaceus.

Hi a Bekkero collati sunt, q. v. Demosth. T. I. iii.—v.

A Reiskio collati sunt duo Augustani Codices, unus Bavaricus.

A^1. Augustanus primus, nunc Monacensis 483., "paene quadratus, spissus, totus membranaceus... exaratus saeculo, ut mihi videtur, X. aut XI. literis majoribus." Reisk. T. I. p. LV. (Ed. *Schaef.*).

A^2. Augustanus secundus, nunc Monacensis 441., chartaceus, forma maxima.

B. Bavaricus, nunc Monacensis 85., bombycinus, forma maxima. [Vid. ad F.]

Praeterea Lambinus contulit 8. Codices Parisienses: quos exemplum Ed. Turic. secuti α^m. β^m. γ^m. δ^m. ϵ^m. ζ^m. η^m. θ^m. nominavimus (*m.* notat *Morelium*, dum in vivis erat, typographum Editionis Lutetianae).

α^m. Parisiensis Regius 2940.[1] (Vid. ad s.)
β^m. .... 2993.
γ^m. .... 2938.
δ^m. .... 2996.
ϵ^m. .... 3000.
ζ^m. .... 3001.
η^m. .... 2999.
θ^m. .... 3937.

[1] Teste Augero. Vid. Ed. Turic. Praef. Demosth. VII. nam aliter Taylori aetate dispositi sunt Vid. App. Crit. T. I. p. 99. Quos ipse Taylor contulit, quos ab aliis collatos memorat, quoniam negligentius scribit, ad ipsum ibidem 100—102. lectorem relego.

As in preparing for the press my second issue of *Demosthenis de Falsa Legatione* I had before me Dindorf's Oxford Edition of our orator, so I have in revising the present had access to Bekker's stereotyped Edition[1], and to Voemel's *Orationes Demosthenis contra Aeschinem de Corona et de Falsa Legatione,* and have set down mainly, if not completely, the points of difference between these Editors and myself. Bekker follows more closely than he formerly did, but by no means blindly, the text as given by the Codex S., while Voemel scarcely ever departs from it[2]. With due deference to these Critics, I confess I see no cause to modify my originally pronounced judgment of the Parisian Manuscript. I have not introduced much additional matter, my aim rather having been to carefully revise the former editions. I hope that I have so far been successful as to leave no considerable amount of corrigenda.

[1] Denoted Bekk. st.

[2] Voemel (p. 556) reminds me, with some degree of smartness, "Codices sunt non numerandi, sed ponderandi." I presume that I have weighed the MS. in an even balance, and occasionally found it wanting.

Cambridge,
October 26, 1864.

I HAVE very little to say in introducing this fourth edition. It contains a few fresh notes added sparingly, and somewhat enlarged indices. It gives on the outer margin beside Reiske's paging the sections of Bekker's stereotyped edition. It uses the same sections, when reference is made to passages cited from (other than this) speeches of Demosthenes. In quotations from the rest of the Orators —except Isocrates—it adds to the paging of Stephanus and Reiske the sections found in modern editions.

Several of these sheets had been struck off, when Mr Paley very kindly put into my hands his collation of a MS. found in the library bequeathed by the late Mr Kerrich to the University. Of this MS. Mr Paley has given already, in *Journal of Philology,* Vol. v., p. 28—31, a brief but by no means incomplete account. The only fact not mentioned that I think noteworthy is the copyist's love of unelided vowels. The instances of this are more numerous even than the instances of transposition of words. To Mr Paley's citation of variants I add one, which struck me much, *καιρὸν προεῖνται* for *καιροὶ προεῖνται* § 8. If this be taken, *προεῖνται* is

middle. But as at present Demosthenes is addressing Aeschines solely, the oratorical point, if meant, would be lost without the addition of *οὗτοι.* Though I hardly think so highly of the value of the MS. as Mr Paley does, I am sure he would oblige the critical world by publishing in the Journal a complete collation.

Some readers may naturally ask why on occasion of this re-issue I have once—and once only —noticed an edition of the Speech, which followed the publication of my third. To this question I have a straightforward answer.

I had been told that a considerable part of the volume alluded to was to be found in my own notes. I had no care to inquire into this matter. But when asked by my publishers to undertake the revision of my work in its present form, I became possessor of a copy of this contribution to the "Catena Classicorum." My examination of the first sheet seemed to support the rumour which had reached me; and I confess that I thought it a work of supererogation to add to my other occupations the necessity of reading throughout a new English edition of a Speech on which I had spent —more or less—thirty years' labour.

PETERHOUSE,
April 27, 1874.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ ΤΗΣ

ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

ΛΟΓΟΣ.

ΛΙΒΑΝΙΟΥ ὙΠΟΘΕΣΙΣ.

ΑΙΣΧΙΝΗΣ ἦν ἀνὴρ Ἀθηναῖος, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, ἀμφοτέρων ἀδόξων, ὥς φησι Δημοσθένης· τὸν μὲν γὰρ γράμματα διδάσκοντα, τὴν δὲ καθαίρουσαν καὶ τελετάς τινας οὐ σπουδαίας τελοῦσάν φησι διαζῆν[1]· παραδέδοται δὲ καὶ αὐτὸς ὁ Αἰσχίνης τραγῳδιῶν τε ὑποκριτὴς γενόμενος καὶ γραμματεὺς τῆς πόλεως, ἥτις ἦν εὐτελὴς ὑπηρεσία. ὕστερον μέντοι τῶν ῥητόρων εἷς ἐγένετο, καὶ περὶ τῆς εἰρήνης πρὸς Φίλιππον ἐπρέσβευσεν. πολεμοῦντες γὰρ Ἀθηναῖοι Φιλίππῳ περὶ Ἀμφιπόλεως καὶ πολλὰ μὲν αὐτοὶ δεινὰ πάσχοντες δρῶντες δὲ οὐδὲν ἄξιον λόγου, ἐπείσθησαν ὑπὲρ εἰρήνης πρεσβεύσασθαι πρὸς Φίλιππον· πέμπουσι δὴ πρέσβεις δέκα τὸν ἀριθμόν, ἐν οἷς Αἰσχίνης τε καὶ Δημοσθένης ἦσαν. δεξαμένου δὲ Φιλίππου τὰς διαλύσεις, πάλιν οἱ αὐτοὶ πρεσβεύουσι δεύτερον, ὅπως οἱ περὶ τῆς εἰρήνης ὅρκοι γένοιντο. περὶ δὲ

333. (1) ζῆν Cod. F. Sed illud valet "to get a living by." Soph. Philoct. 535, Arist. Avib. 1434, Plut. 906, Plat. III. de Legg. 679 A νομῆς γὰρ οὐκ ἦν σπάνις... ᾗ δὴ τὸ πλεῖστον διέζων ἐν τῷ τότε χρόνῳ. Quem locum exscripsi propter rariorem usum dativi, quum ἀφ' ἧς in more usurpetur.

ταῦτα τὰ πράγματα κατηγορεῖ ὁ Δημοσθένης Αἰσχίνου τρία· ὅτι Φιλοκράτους αἰσχρὰν καὶ ἀσύμφορον εἰρήνην γράφοντος συνεῖπεν αὐτῷ· ὅτι τοὺς χρόνους κατανάλωσε, παρ' ὃ συνέβη τὰ ἐν Θρᾴκῃ διαφθαρῆναι· ὅτι ψευδῆ πρὸς Ἀθηναίους ἀπήγγειλε, παρ' ὃ συνέβη Φωκεῖς ἀπολέσθαι· εἶπε γάρ, φησίν, ὅτι Φωκέας οὐκ
334 ἀναιρήσει Φίλιππος, καὶ ὑμεῖς τούτῳ πιστεύσαντες οὐκ ἐβοηθήσατε | τοῖς ἀνδράσιν. φησὶ δὲ ταῦτα πάντα ἐπὶ μισθῷ καὶ δώροις τὸν Αἰσχίνην κεκακουργηκέναι. ἡ στάσις περὶ οὐσίας, καὶ στοχαστική[2]· ἡ δὲ κίνησις τῆς ἔχθρας λέγεται διὰ Τίμαρχον τὸν φίλον Δημοσθένους, ὃν ἠτίμωσεν Αἰσχίνης κατηγορήσας ὡς κακοῦ βίου, διότι πρὸς Πιττάλακον τὸν ὀρνιθίαν, φησίν, εἰσῄει εὔμορφος ὤν, ἐπὶ τῷ θεᾶσθαι τὰς μάχας τῶν ὀρνίθων, διαφθειρόμενον καὶ διαφθείροντα.

ἙΤΕΡΑ ὙΠΟΘΕΣΙΣ[1].

ΠΟΛΕΜΟΣ συνειστήκει Φιλίππῳ καὶ Ἀθηναίοις μακρός[2], ἐξ οὗπερ παραβὰς τὰς πρὸς αὐτοὺς συνθήκας ἔλαβε παρ' Ὀλυνθίων Ἀμφίπολιν, οὖσαν κτῆμα τῆς πόλεως· καὶ ἦν ὑπ' Ὀλυνθίοις καθ' ὃν καιρὸν ἀπέστησαν καὶ οἱ σύμμαχοι. συνειστήκει δὲ καὶ ἕτερος Φωκεῦσι πρὸς Θετταλοὺς καὶ Θηβαίους, τοῦτο μὲν περὶ τοῦ ἱεροῦ τοῦ Πυθοῖ πρὸς Θετταλούς, τοῦτο δὲ ὑπὲρ Ὀρχομενοῦ καὶ Κορωνείας πρὸς τοὺς Θηβαίους· εὔδηλον γὰρ ἐκ τῆς ἱστορίας ὅτι τῶν μὲν παρείλοντο

334. (2) "The question (*status*) (Quintil. III. 6. 1) turns on the fact (*utrum sit necne*) and is conjectural." Vid. Ernest. Lex. Tech. Graec. in *οὐσία, στοχασμός, στάσις*. Cf. Argum. alt. p. 340, 15.—Extstat Hermogenis liber *περὶ στάσεων* et singulare caput *περὶ στοχασμοῦ*.

334. (1) "Hoc argumento carent codices a Reiskio et Bekkero tractati. Habent alii, ab Tayloro inspecti." DIND. (2) *μικρὸς* Codd. ad unum praeter

τὰς δύο πόλεις γειτνιώσας αὐτοῖς, Θετταλοὺς δὲ παρωσάμενοι[3] τὴν Ἀμφικτυονίαν, ἅτε ἐν μέσῃ Φωκίδι τῶν ἐν Δελφοῖς ἱερῶν ἱδρυμένων[4]. ἐπειδὴ δὲ πολὺν χρόνον ἐπολέμησαν πρὸς ἑαυτοὺς Ἀθηναῖοι καὶ Φίλιππος, τῷ χρόνῳ τὴν εἰρήνην ἑκάτεροι ποιεῖν ἐβούλοντο, ἀλλ' ὁπότερος ταῦτα προβάλλοιτο, αἰσχύνην ἔχειν ἐνόμιζον. Ἀριστόδημος δὲ καὶ Νεοπτόλεμος | ὑποκριταὶ τρα- 335
γῳδίας ἐτύγχανον, οὗτοι διὰ τὴν οἰκείαν τέχνην ἄδειαν εἶχον ἀπιέναι, ὅπου[5] ἂν βούλωνται, ἀλλὰ δὴ καὶ πρὸς πολεμίους. ἀπελθόντες οὖν οὗτοι εἰς τὴν Μακεδονίαν ἐπεδείξαντο τὴν οἰκείαν τέχνην, καὶ οὕτω φιλοφρόνως αὐτοὺς ἐδέξατο Φίλιππος, ὥστε πρὸς τοῖς ἄλλοις χρήμασι καὶ ἄλλα ἐκ τῶν οἰκείων παρεῖχεν αὐτοῖς. αἰσθόμενος δὲ μελλόντων πρεσβεύεσθαι πρὸς αὐτὸν Φωκέων καὶ Θετταλῶν καὶ Θηβαίων, ἐβουλήθη τοὺς Ἀθηναίους ἐξαπατῆσαι. καὶ ταύτης τῆς προφάσεως δραξάμενος Φίλιππος, ἀπολύων Ἀριστόδημον καὶ Νεοπτόλεμον, ἔλεγεν αὐτοῖς ὅτι φίλος εἰμὶ Ἀθηναίοις. συνέβη δὲ πάλιν τι τοιοῦτον γενέσθαι. Φρύνων τις Ἀθηναῖος ἀπιὼν Ὀλυμπίασιν[6] ἀγωνισόμενος ἢ θεασόμενος, ἐκρατήθη ὑπό τινων στρατιωτῶν τοῦ Φιλίππου ἐν ἱερομηνίᾳ, καὶ ἀφῃρέθη πάντα τὰ αὐτοῦ. καὶ ἐλθὼν εἰς Ἀθήνας παρεκάλει τοὺς Ἀθηναίους, ἵνα χειροτονήσωσιν αὐτὸν πρεσβευτην, ὅπως ἀπελθὼν πρὸς Φίλιππον λάβῃ ἅπερ ἀφῃρέθη· καὶ πεισθέντες Ἀθηναῖοι ἐχειροτόνησαν αὐτὸν καὶ Κτησιφῶντα· καὶ ἐλθόντων αὐτῶν εἰς Μακεδονίαν φιλοφρόνως αὐτοὺς ἐδέξατο ὁ Φίλιππος, ὥστε καὶ τὰ ἀφαιρεθέντα ὑπὸ τῶν στρατιωτῶν πάντα ἀποδοῦναι αὐτῷ καὶ ἐκ τῶν οἰκείων ἄλλα

a^m^. Emendavit Bekk. (3) Schaefer laudat Demosth. III. Philipp. p. 119, 17 § 32. (4) *ἱδρυμένην* vulg. ante Bekk. "Intellige quidquid sacrorum locorum Delphis fuit," Schaefer. 335. (5) "Rectius *ὅποι*" Schaef. (6) *Ὀλυμπιᾶσιν* Bekk. *Ὀλυμπίασιν* Bekk. st.

ἐπιδοῦναι, καὶ ἀπολογεῖσθαι ὅτι ἠγνόουν οἱ στρατιῶται ὅτι ἱερομηνία ἐστί. καὶ τούτοις πάλιν ὁμοίως ἔλεγεν ὡς φίλος εἰμὶ Ἀθηναίοις. καὶ ἐλθόντες εἰς τὴν Ἀττικὴν τὰ αὐτὰ τοῖς ἄλλοις ἀπήγγειλαν. ταῦτα ἀκούσαντες Ἀθηναῖοι ἐβούλοντο μαθεῖν εἰ μετ' ἀληθείας εἰρήνην ἄγειν βούλεται Φίλιππος. καὶ δὴ χειροτο-
336 νοῦσι | δέκα πρέσβεις. εἰσὶ δ' οὗτοι Κτησιφῶν, Ἀριστόδημος, Ἰατροκλῆς, Κίμων, Ναυσικλῆς, Δέρκυλλος[7], Φρύνων, Φιλοκράτης, Αἰσχίνης, Δημοσθένης. πέμπουσι δὲ τούτους εἰς Μακεδονίαν, ἵνα μάθωσιν εἰ μετ' ἀληθείας βούλεται εἰρήνην ἄγειν ὁ Φίλιππος· καὶ εἰ ἀληθές ἐστιν, ἐνέγκαι παρ' αὐτοῦ πρέσβεις τοὺς ληψομένους τοὺς ὅρκους. ἀπελθόντων οὖν τῶν δέκα πρέσβεων, ὧν ἦν καὶ Δημοσθένης, ἤγαγον ἀπὸ τοῦ Φιλίππου τρεῖς πρέσβεις, Ἀντίπατρον Παρμενίωνα καὶ Εὐρύλοχον, ὀφείλοντας λαβεῖν τοὺς ὅρκους. συναγομένων δὲ τῶν συμμάχων τῶν Ἀθηναίων ἐπὶ τῷ παρασχεῖν τοὺς ὅρκους χρόνος παρήρχετο. καὶ γινώσκων τὴν φύσιν τοῦ Φιλίππου ὁ Δημοσθένης, ὡς ἀεὶ καταστρεφομένου καὶ ἐπηρεάζοντος, λέγει τοῖς Ἀθηναίοις ταχέως δοῦναι τοὺς ὅρκους, καὶ μὴ παρόντος Κερσοβλέπτου· ἔλεγε γὰρ ὅτι εἰς τὴν Θρᾴκην ἀπερχομένων ἡμῶν παρέξει τοὺς ὅρκους ὁ Κερσοβλέπτης. ἰστέον δὲ ὅτι Δημοσθένης ἀπῆλθεν[8] ἐν τῇ δευτέρᾳ πρεσβείᾳ διὰ τοιαύτην πρόφασιν· ἀπελθὼν γὰρ εἰς τὴν πρώτην πρεσβείαν εὗρεν ἐν Μακεδονίᾳ τινὰς τῶν Ἀθηναίων αἰχμαλώτους, καὶ ὑπέσχετο φέρειν ἐκ τῶν ἰδίων χρημάτων καὶ ῥύσασθαι αὐτούς, οὐκ ἐδύνατο δὲ τοῦτο ποιῆσαι, εἰ μὴ ἐν προσχήματι πρεσβευτοῦ. ἔλεγε δὲ τὴν πρεσβείαν ἀπελθεῖν πλῷ διὰ τὸ[9] αὐτοὺς ταχέως

336. (7) "Immo *Δερκύλος*" Ed. Turic. Dem. 396 § 193 ubi 2 Codd. *Δέρκυλλος*. Vid. Aristoph. Vesp. 78. (8) *οὐκ ἀπ.* constanter Codd. Probabiliter Seager. *οὐκ ἂν ἀπ. ἐν τῇ δ. π. εἰ μὴ διὰ τ. π.* (9) *διὰ τό.* "for the sake of their...i.e. to the

ἀπελθεῖν· καὶ ὅπου ἂν ὄντα πύθωνται Φίλιππον, δεῖ αὐτοὺς ἀπελθεῖν καὶ ἐκεῖσε[10] *τοὺς ὅρκους λαβεῖν. οἱ δὲ μὴ*[11] *πεισθέντες πεζῇ ἀπῆλθον, καὶ εἰς Μακεδονίαν ἀπελθόντες ἐκάθισαν ὅλους τρεῖς μῆνας,* | *ἕως οὗ πολλὰ* 337
τῶν Ἀθηναίων χωρία καταστρέψας ὑπέστρεφε Φίλιππος, ἐν οἷς καὶ Κερσοβλέπτης. καὶ ἐλθὼν οὐκ εὐθὺς παρέσχεν αὐτοῖς τοὺς ὅρκους, ἀλλ' εἵλκυσεν[12] *αὐτούς, ἕως ηὐτρέπισε τὴν ἐπὶ Φωκέας στρατείαν, καίτοι πρεσβευσαμένων πρὸς αὐτὸν Φωκέων περὶ διαλύσεως τοῦ πολέμου. καὶ ἐξελθόντος αὐτοῦ ἐπὶ τοὺς Φωκέας, ἀντὶ τοῦ παρασχεῖν ἐν ἱερῷ τοὺς ὅρκους ἐν πανδοχείῳ*[13] *παρέσχε λέγων οὕτω "σπένδομαι Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις χωρὶς Ἁλέων*[14] *καὶ Φωκέων." ἔλεγε γὰρ ὅτι οἱ Ἁλεῖς ἐχθροὶ ἦσαν τῶν φίλων μου, τῶν Φαρσαλίων· Φωκεῦσι δὲ οὐ σπένδομαι, ἐπειδήπερ ἠσέβησαν εἰς τὸ ἱερόν. ἐλθούσης οὖν τῆς δευτέρας πρεσβείας εἰς τὴν Ἀττικὴν ὁ Δημοσθένης ἐστασίαζε, λέγων ὅτι οὐκ ἀρέσκει μοι τὰ ὑπὸ Φιλίππου δεδογμένα. ὁ δὲ Αἰσχίνης ἔλεγεν ὅτι ταῦτα εἶπε Φίλιππος ἐν τῷ φανερῷ ἐμοὶ δὲ εἶπεν εἰς τὸ οὖς ὅτι "πλὴν Ἁλέων καὶ Φωκέων εἶπον, ἵνα μὴ μαθόντες Θηβαῖοι παραφυλάξωνται· αὐτοὺς γὰρ εἰσερχόμενος ἀπολέσω, τούτους δὲ σώσω." οἱ δὲ Ἀθηναῖοι πεισθέντες Αἰσχίνῃ ἐχειροτόνησαν τρίτην πρεσβείαν, βουλόμενοι μαθεῖν εἰ φυλάττει Φίλιππος τὰ ὑπ' Αἰσχίνου λεχθέντα. καὶ ἐξωμόσατο Δημοσθένης μήτε πρεσβεῦσαι μήτε κοινωνεῖν, εἴτε καλῶς εἴτε κακῶς πράξει ἡ*

end that they might..." quae significatio praepositionis non abhorret a puriore saeculo. (10) Vix necesse est rescribas *ἐκεῖσε καὶ* in hujusmodi scriptore. (11) *μὴ* sequioris est Graecitatis (quae *οὐ* participio conjunctum fastidiose contemnit) ut *καίτοι* (pro *καίπερ*) paullo infra.

337. (12) "distulit," vid. Schaef. (13) Attici *πανδοκεῖον* ut Dem. p. 396 § 175. Vid. Lob. ad Phryn. p. 307. (14) *Ἀλέων* et *Ἀλεῖς* Bekk. [et st.] qui in ipsa oratione spiritum asperum servat.

πρεσβεία. καὶ τότε φοβηθεὶς ὁ Αἰσχίνης, μήποτε μένων ὁ Δημοσθένης πέμψαι πείσει τὸν δῆμον τοῖς Φωκεῦσι βοήθειαν, προσεποιήσατο, ὡς λέγει Δημοσθένης, ἀρρωστεῖν. καὶ τότε ὁ ἀδελφὸς αὐτοῦ Εὔνομος
338 ἦλθεν ἔχων ἰατρὸν καὶ ὀμνύων ὅτι ἀρρωστεῖ | Αἰσχίνης. καὶ αὐτὸν τὸν Εὔνομον ἀντὶ τούτου ἐχειροτόνησεν ὁ δῆμος πρεσβευτήν. καὶ ἀπελθόντων τούτων τῶν πρέσβεων, ὡς κατέλαβον Εὔβοιαν, ἤκουσαν, ὅτι Φωκέας κατεστρέψατο ὁ Φίλιππος, καὶ μετ' αἰσχύνης ὑπέστρεψαν. ἐλθούσης δὲ τῆς τρίτης πρεσβείας εἰς τὴν Ἀττικὴν Αἰσχίνης αὐτοχειροτόνητος πρεσβευτὴς ἀπῆλθε πρὸς Φίλιππον, ὡς λέγει Δημοσθένης.

Ἰστέον δὲ ὅτι μετὰ τὴν πρεσβείαν ἕκαστος τῶν πρέσβεων εὐθύνας ἐδίδου. καὶ ἡ μὲν πρώτη πρεσβεία παρέσχεν εὐθύνας οὕτω καλῶς, ὥστε τὸν Δημοσθένην γράψαι καλέσαι αὐτοὺς ἐπ' ἄριστον· ἔθος γὰρ ἦν τοὺς καλῶς πρεσβευσαμένους[15] εἰς δημόσιον ἄριστον καλεῖσθαι. ἀποροῦσι δέ τινες ὅτι[16], εἰ ἠπίστατο Δημοσθένης ὅτι προδόται ἦσαν, διὰ τί ἐποίησεν αὐτοὺς κληθῆναι εἰς δημόσιον ἄριστον· καὶ λέγομεν ὅτι μετὰ τὸ ἄριστον ἔγνω τὸν σκοπὸν αὐτῶν. τῶν δὲ τῆς δευτέρας πρεσβείας μόνος ὁ Δημοσθένης δέδωκεν εὐθύνας. μέλλοντος δὲ τοῦ Αἰσχίνου παρέχειν ἐπέστη Τίμαρχος καὶ Δημοσθένης κατηγορήσοντες τούτου. καὶ ᾔτησεν Αἰσχίνης ἀνάκρισιν γενέσθαι, καὶ γενομένης ἀνακρίσεως ἔδειξε Τίμαρχον ἡταιρηκότα, καὶ ἐξέβαλον αὐτόν· νόμος γὰρ ἦν τὸν ἡταιρηκότα μὴ πολιτεύεσθαι. εἶτα ἐπέστη κατηγορήσων ὁ Δημοσθένης. καὶ λέγουσί τινες, πῶς ἐνταῦθα μέμνηται τῆς τρίτης πρεσβείας; λέγομεν δ' ὅτι μετὰ τρία ἔτη τῆς γραφῆς εἰσῆλθεν

338. (15) "Debebat scribere πρεσβεύσαντας" Schaef. (16) Nota rariorem verborum structuram ὅτι...διὰ τί. Bekk. [et st.] post ἄριστον interrogandi signum ponit.

ἔχων τὴν κατηγορίαν. γενομένης γὰρ τῆς δευτέρας πρεσβείας, μαθόντες οἱ Ἀθηναῖοι τὴν τῶν Φωκέων ἀπώλειαν, ἐσκευαγώγουν ἐκ τῶν ἀγρῶν καὶ ἐν | πολλῷ 339
θορύβῳ ἦσαν· καὶ μετὰ τρία ἔτη εἰσῆλθεν ὁ Δημοσθένης κατηγορήσων Αἰσχίνου, καὶ κρίνει αὐτὸν διὰ δύο ἐγκλήματα, διὰ τὴν ἀπώλειαν τῶν Φωκέων καὶ διὰ δωροδοκίαν. ἰστέον δὲ ὅτι προηγούμενόν ἐστιν ἔγκλημα, ὅτι Φωκεῖς ἀπολώλασιν. πρὸς σύστασιν τούτου δεύτερον ἐνέκυψε ζήτημα, ὅτι ἐπὶ χρήμασιν Αἰσχίνῃ τοῦτο τετόλμηται, ὡς σύστασιν γίνεσθαι τοῦ προτέρου ἐγκλήματος τοῦ κατὰ Φωκέας. τεκμήριά ἐστι τοῦ πάλαι ταῦτα ἐσκευωρῆσθαι καὶ κατεσκευάσθαι, δι' ὧν ἅμα καὶ προαναιρεῖ τὸ χρῶμα[17] Αἰσχίνου, καταφεύγοντος ἐπὶ ἄγνοιαν καὶ συγγνώμην. καὶ τούτων τὰ μὲν ἐκ τῶν παρειμένων εἴληφε, τὰ δὲ ἐκ τῶν πεπραγμένων. συνεῖπε γὰρ Φιλοκράτει ἄνευ Φωκέων γράφοντι τὴν εἰρήνην. οὐκ ἔλαβεν ὅρκους παρὰ Θετταλῶν συμμαχούντων Φιλίππῳ, οἳ οὐκ ἂν συνεστράτευσαν ἐπὶ Φωκέας, εἴπερ δεδωκότες ἦσαν τοὺς ὅρκους. ἐνέδωκε Φιλίππῳ χρόνῳ[18] παρασκευάσασθαι τὴν ἐπὶ Φωκέας στρατείαν· διέτριψε γὰρ ἐκεῖνος τοὺς χρόνους ἐξεπίτηδες ἀναλίσκων, ἵνα μὴ περιπλεύσας ὁ δῆμος κλείσῃ τὰς Πύλας. ἐξηπάτησε τὴν πόλιν ἐπανελθὼν ἐπίτηδες διτταῖς ἐλπίσι, μιᾷ μὲν ὅτι ἀπολοῦνται Θηβαῖοι[19], ἑτέρᾳ δὲ ὅτι Φωκεῖς σωθήσονται, ὥστε μὴ ἐγγενέσθαι βουλεύσασθαί τι δεξιὸν ὑπὲρ Φωκέων· εἶπε γὰρ δεῖν Φιλίππῳ πιστεύειν· σώσειν γὰρ αὐτοὺς τῇ πόλει ἐπηγγείλατο. καὶ τοῦ μὲν προτέρου ταῦτα τεκμήρια· τοῦ δὲ δευτέρου τοῦ περὶ τῶν δώρων, ἐν ᾧ δείκνυται ὅτι χρήματα εἴληφεν Αἰσχίνης, ταῦτα τεκμή-

339. (17) τὸ χρῶμα (*color* s. *pigmentum* Quintil.) "colour, varnish, embellishment, colourable excuse." Vid. Ern. Lex. Techn. Gr. (18) χρόνον emendant. (19) Θηβαῖοι om. Codd. praeter a^m.

ρια, ὧν ὁμοίως τὰ μὲν ἐκ τῶν παρειμένων ἐστί, τὰ δὲ ἐκ τῶν πεπραγμένων. οὐ μισεῖ Φίλιππον, καίπερ
340 *ἐξαπατηθεὶς ὑπ' αὐτοῦ, ὥς φησι. συνεῖπε Φιλίππῳ γενέσθαι Ἀμφικτύονα, πρεσβευσαμένων περὶ αὐτοῦ τῶν Ἀμφικτυόνων. σύνεστιν ἀεὶ Φιλοκράτει χρήματα εἰληφότι. καλούμενος ἐπὶ μαρτυρίαν, ἡνίκα Ὑπερείδης εἰσήγγειλε Φιλοκράτην, παρὼν οὐκ ἐφθέγξατο. χειροτονηθεὶς πρεσβευτὴς ἐπὶ τὴν Φωκίδα πρὸς Φίλιππον ἐπὶ ταῖς ὑποσχέσεσιν ἀῤῥωστεῖν προσεποιήσατο. ἁλόντων Φωκέων μετὰ[20] τὴν ἐξωμοσίαν ἀχειροτόνητος πορεύεται, ὅτε καὶ φυλάξασθαι αὐτὸν ἐχρῆν. ταῦτα τὰ τεκμήρια τοῦ δευτέρου λόγου. ἔστι δὲ τούτων τὸ ἰσχυρότατον, καὶ οὗ μάλιστα ἀντέχεται, ἡ ἐπαγγελία καὶ ἡ ὑπόσχεσις Αἰσχίνου ἡ περὶ Θηβαίων καὶ Φωκέων.*

Ἡ *μὲν ὑπόθεσις τοῦ λόγου στοχαστική· οὐ γὰρ συντρέχει τοῖς ἐγκαλουμένοις* Αἰσχίνης, *ἀλλ' ἀρνεῖται παντάπασι. τὸ δὲ εἶδος οἱ μὲν ἁπλοῦν[21] νενομίκασιν, ὕλης πολλῆς ὡς ἐν ἀληθείᾳ συνδραμούσης[22], οἱ δὲ συγκατασκευαζόμενον[23],* δύο λαβόντες *ἐγκλήματα, τὸ κατὰ Φωκέας καὶ Θρᾴκην.* Μένανδρος δὲ *ἐμπίπτοντα*[24]

340. (20) *ἐπὶ* libri et Bekk. *μετὰ* H. Wolf. Bekk. st. (21) *ἁπλοῦν* (sc. *λόγον* s. *στοχασμόν*, neutiquam *εἶδος*, propter *ἐμπίπτοντα*) *simplicem* "quando factum disceptatur unicum et unica persona" G. Laur. ad Hermog. de Stat. p. 30. (22) Vertit Schaef. "*materia multa vere conspirante ut ἁπλοῦν haberi possit.*" (23) Hermog. de Stat. p. 37 *συγκατασκευαζόμενος δὲ γίγνεται ὅταν τὰ σημεῖα τοῦ πράγματος δι' ἀλλήλων κατεσκευάζεται* (immo *κατασκευάζηται*). "Quando copulantur casus sive controversiae mutuo se comprobantes, quarum altera ad alterius confirmationem multum confert, corroborat, commonet et commovet." G. Laur. (24) *ἐμπίπτοντα*. Vertunt "incidentia." Sed ad *στοχασμὸν* s. *λόγον* refertur. Hermog. p. 36 *ὁ μὲν ἐμπίπτων* (*στοχασμὸς*) *γίγνεται ὅταν ἐν τῇ μεταθέσει τῆς αἰτίας ὁλόκληρόν τι ζήτημα ἐμπέσῃ, καὶ ἀναγκαῖον γένηται καὶ αὐτὸ διελεῖν τελείως*, h.e. "*incidens interveniens*, interposita in medio argumentationis," ut Ernesti Lexic. Techn. Graec. p. 319 qui parum recte *συγκατασκευαζόμενος* intelligit. ——De Menandro ita Suid. *Μένανδρος Λαοδικεὺς τῆς παρὰ Λύκῳ τῷ ποταμῷ, σοφιστής. ἔγρα-*

φησιν. εἴληπται δὲ ἐκ διαβολῆς τὸ προοίμιον· δι' ὧν γὰρ αὐτὸν δεδιότα ποιεῖ καὶ δεόμενον, διὰ τούτων δείκνυσιν οὐ πάνυ τοῖς δικαίοις τεθαρρηκότα. καὶ ἅμα συγκρουστικὸν[25] ἂν εἴη τὸ νόημα ἐκ διαβολῆς τοῦ τε ἀντιδίκου καὶ τῶν συνηγόρων αὐτοῦ, οἷον τοῦ Εὐβούλου καὶ τῶν περὶ αὐτόν· ἀεὶ γὰρ ὁ Εὔβουλος ἐπολέμει τῷ Δημοσθένει ἀπὸ τῆς αἰτίας τῆς κατὰ Ἀρίσταρχον, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Μειδίου.

ψεν ὑπομνήματα εἰς τὴν Ἑρμογένους τέχνην, καὶ Μινουκιανοῦ Προγυμνάσματα. Vixit exeunte saeculo tertio. Vid. Walz. Rhet. Graec. T. IX. p. XIV. seq. (25) συγκρουστικόν. "The design is to excite odium." Ita passim συγκρούειν. Ceterum finis hujus argumenti nova manu scriptus videtur: cum eadem habeat Ulpianus (ad Prooem. Orationis), Codicis Augustani Scholium, et Cod. Bavar. Schol. ab ἡ ὑπόθεσις ...usque ad τὸ νόημα.

---

341 Ὅση μὲν ὦ ἄνδρες Ἀθηναῖοι σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι ἑωρακότας ἄρτι τοὺς ὅτε ἐκληροῦσθε ἐνοχλοῦντας καὶ προσιόντας ὑμῖν. δεήσομαι δὲ πάντων ὑμῶν, ἃ καὶ τοῖς μὴ δεηθεῖσι δίκαιόν ἐστιν ὑπάρχειν, μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα ποιεῖσθαι

§ 1. *ἑωρακότας* libri. *εω* | ...*αι* (i. e. *ἑωρακέναι*) diserte Hyper. Euxen. col. 19, l. 25. *ἑορακότας* Y. Dind. Voem. (quemadmodum certe scribunt Comici. Vid. Tyrwhitt. apud Kidd. ad Dawes. Misc. Crit. p. 379, 380). Mox *προϊόντας* (σ supra) S. *ἰδίων* ante *πλεονεξιῶν* om. pr. S. Y. et Ed. Turic. Voem. Equidem duxi retinendum propter praeced. *ὅλης τῆς πόλεως*. *συνῆγον* pr. S. Voemel. nam "imperfectum aptius est de re solita." Itaque vertit *convocabant*. Sed *convocant* i.q. *convocare solent* (*συνάγουσιν*), aut *convocarunt* (*συνήγαγον*), locus flagitat.

The name by which this speech is known, De Falsa Legatione, is found in Cicer. Orat. 31, 111 'Multae sunt ejus orationes — variae, ut contra Aeschinem, *falsae legationis*." It is usually cited by the Grammarians under the title *ὁ κατ' Αἰσχίνου λόγος*.

341. § 1. *παραγγελία...ἐνοχλοῦντας*.] Comp. Mid. p. 515 § 4 *ὅσῳ πλείοσιν οὗτος ἠνώχληκε* (*has bothered, teased, solicited*) *καὶ παρήγγελκεν* (*has canvassed*), where Bekk. Dind. and Ed. Turic. *περιήγγελκεν* from the Cod. S. and other MSS., but Buttm. and Schaef. retain *παρήγγελκεν*. The latter (besides this passage) refers to Dem. Prooem. 55 *μὴ πάνυ δ' οἷοί τ' ἐνοχλεῖν καὶ παραγγέλλειν*. See also *παραγγελία* p. 432 § 324. It may be added, that *περιαγγέλλειν* does not occur in Demosthenes.——*τοὺς... ἐνοχλοῦντας*.] The separation of the article from the participle (the intervening words serving as a sort of epithet; comp. *τῆς ὅπου βούλεσθε ὀλιγαρχίας* Androt. p. 609 § 52, infr. § 30) is more remarkable in II. Philipp. p. 72 § 29 *τούς, ὅτ' ἐγὼ γεγονυίας ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν, προὔλεγον καὶ διεμαρτυρόμην καὶ οὐκ εἴων προέσθαι Πύλας οὐδὲ Φωκέας, λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύσκολος καὶ δύστροπός εἰμί τις ἄνθρωπος*.——*μήτε χάριν*.] So in Mid. p. 515 § 3 *πολλὰς δὲ δεήσεις καὶ χάριτας...ὑπομείνας*. Comp. Mid. p. 586 § 225 *μήτε λειτουρ-*

περὶ πλείονος ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον ὃν εἰσελήλυθεν ὑμῶν ἕκαστος ὀμωμοκώς, ἐνθυμουμένους ὅτι ταῦτα μέν ἐστιν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πόλεως, αἱ δὲ τῶν παρακλήτων αὗται δεήσεις καὶ σπουδαὶ τῶν ἰδίων πλεονεξιῶν ἕνεκα γίγνονται, ἃς ἵνα κωλύηθ' οἱ νόμοι συνήγαγον ὑμᾶς, οὐχ ἵνα κυρίας τοῖς ἀδικοῦσι ποιῆτε.

2 τοὺς μὲν οὖν ἄλλους, ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύνας, τὴν ἀειλογίαν ὁρῶ προτεινομένους, τουτονὶ δ' Αἰσχίνην πολὺ τἀναντία τούτου· πρὶν γὰρ εἰσελθεῖν εἰς ὑμᾶς καὶ λόγον δοῦναι τῶν πεπραγμένων τὸν μὲν ἀνῄρηκε τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων, τοῖς δ' ἀπειλεῖ περιιών, δεινότατον πάντων ἔθος εἰς τὴν πολιτείαν εἰσάγων καὶ ἀσυμφορώτατον ὑμῖν· εἰ γὰρ ὁ πράξας τι τῶν κοινῶν καὶ διοικήσας τῷ καθ' ἑαυτὸν φόβῳ καὶ μὴ τῷ δικαίῳ κατα-

§ 2. τούτου S.F.Y.r. τούτων vulg. et S. marg. Utravis lectio *gen. neutr.* est. αὐτοῦ post κατήγορον BEKK. DIND. [αὐτοῦ BEKK. st.].

γίας μήτ' ἔλεον μήτ' ἄνδρα μηδένα μήτε τέχνην μηδεμίαν εὑρῆσθαι.——παρακλήτων.] Lat. *advocati*. Comp. de Coron. p. 275 § 143 οἱ ἐκ παρακλήσεως συγκαθήμενοι. Aeschin. F. L. § 183 p. 52 St.=346 R. παρακαλῶ δὲ Εὔβουλον...συνήγορον.——ἃς ἵνα κωλύηθ'...συνήγαγον.] Observe the conjunctive after the aorist. Buttmann's remarks on Plat. Crito, init. are applicable to this passage: "conjunctivum post praeterita poni, si res quae significatur eo adhuc durat." Translate: "in order to the prevention whereof the laws brought you together here."

§ 2. πρὸς τὰ κοινὰ προσέρχονται.] Compare Androt. p. 615 § 69 (or Timocr. p. 755 §176), where I conceive Schaefer is wrong in considering προσέρχομαι = προσφέρομαι. Rather προσελήλυθε πρὸς ὑμᾶς = πεπολίτευται in the preceding sentence. So below p. 373 § 114 προσέλθῃ.——ἀειλογίαν.] i.e. τὸ ἀεὶ διδόναι λόγον, "the duty of always giving an answer when called to question, a perpetual responsibility." The word occurs in Eubulid. p. 1306 § 27 (and in this sense perhaps no where else) τὴν ἀειλογίαν παρέχειν.——τὸν μὲν ἀνῄρηκε.] Timarchus, who had lost his franchise (ἠτιμώθη), having been prosecuted by Aeschines for unnatural crimes (ἑταιρήσεως γραφή).——ἀνῄρηκε, "has put out of the way." The expression does not certainly warrant the idea that Timarchus had been put to death. See Mid. p. 548 § 105 ἐξόριστον ἀνῃρῆσθαι, and below p. 432 § 325.——τῷ καθ' ἑαυτὸν φόβῳ.] Dobree refers to Mid. p. 555 § 124 οὐ δὴ δεῖ παρορᾶν τὰ τοιαῦτα, οὐδὲ τὸν ἐξείρ-

342 *σκευάσει μηδένα | εἶναι κατήγορον αὐτοῦ, παντάπασιν ἄκυροι πάντων ὑμεῖς γενήσεσθε.*

Τὸ μὲν οὖν ἐξελέγχειν πολλὰ καὶ δεινὰ πεποιη- 3
κότα τουτονὶ καὶ τῆς ἐσχάτης ὄντα τιμωρίας ἄξιον θαῤῥῶ καὶ πάνυ πιστεύω· ὃ δὲ καίπερ ὑπειληφὼς ταῦτα φοβοῦμαι, φράσω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι, ὅτι μοι δοκοῦσιν ἅπαντες οἱ παρ' ὑμῖν ἀγῶνες οὐχ ἧττον ὦ ἄνδρες Ἀθηναῖοι τῶν καιρῶν ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολὺν δέδοικα, μή τινα λήθην ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν ἐμπεποίηκεν. ὡς δή μοι δοκεῖτ' 4
ἂν ὅμως ἐκ τούτων καὶ γνῶναι τὰ δίκαια καὶ δικάσαι νυνί, τοῦθ' ὑμῖν λέξω· εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, καὶ λογίσαισθε τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν. πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ

§ 3. *ἐξελέγχειν* vulg. ante Bekk. *ἐξελέγξειν* S. Q. *ἐξελέγχειν* (ξ superscr.) F. t. et B. Utra sane potior lectio difficilis est optio: quanquam male me habet *θαῤῥῶ τὸ ἐξελέγξειν*. Cf. tamen Aphob. p. 844 § 2 *τῷ ἐξελέγξειν πιστεύων*, ubi *ἐξελέγχειν* pr. S. *ἐμπεποίηκεν* scripsi post Markland. et Elmsl. ad Soph. Ajac. 278. (Mus. Crit. T. I. p. 356.) [Vid. App. A.] Vulg. *ἐμπεποιήκει* s. *-κῃ· πεποιήκῃ* pr. S. sequente (ut assolet) Ed. Turic.

§ 4. *δοκοῖτ'* multi Codd. solenni errore. Mox *λέξω· σκέψασθε......καὶ λογίσασθε* Ed. Turic. Speciosa sane lectio: cum praeter *α*^{m} *ε*^{m} *ζ*^{m} *σκέψασθε* et *λογίσασθαι* (sic) praebeat S. quanquam fateor nescio quid abrupti inesse locutioni nec constat *εἰ* in Cod. S. omissum. ["*εἰ σκέψασθε* pr. S. pallido atramento, ῑ insertum est post ᾱ." Voem.]

γοντα δέει καὶ φόβῳ τὸ δίκην ὧν ἂν ἀδικηθῇ τις λαμβάνειν παρ' αὐτοῦ ἄλλο τι χρὴ νομίζειν ποιεῖν ἢ τὰς τῆς ἰσηγορίας καὶ τὰς τῆς ἐλευθερίας ἡμῶν μετουσίας ἀφαιρεῖσθαι.

342. § 3. "It strikes me that all actions tried before you pertain equally to times and seasons as to facts, and that a length of time has elapsed since the embassy, I am afraid has produced within you a forgetfulness of or a familiarity with his crimes." For the *second* embassy left Athens April 346 B.C. and this action was not brought till August 343 B.C.

§ 4. *ὅμως ἐκ τούτων.*] "notwithstanding, after all this." Comp. Eur. Med. 458 *ὅμως δὲ κἀκ τῶνδ'*. Soph. Trach. 1109 *χειρώσομαι κἀκ τῶνδε*. Aesch. Choeph. 340.——*πρῶτον μὲν τοίνυν, κ.τ.λ.*] An ambassador is responsible (1.) for his reports

ὧν προσετάξατε αὐτῷ, μετὰ ταῦτα τῶν χρόνων, ἐφ'
ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως ἢ μὴ πάντα ταῦτα
5 πέπρακται. τί δή ποτε τούτων; ὅτι ἐκ μὲν τῶν ἀπαγ-
γελιῶν τὸ βουλεύσασθαι περὶ τῶν πραγμάτων ὑμῖν
ἐστίν· ἂν μὲν οὖν ὦσιν ἀληθεῖς, τὰ δέοντα ἔγνωτε, ἂν
δὲ μὴ τοιαῦται, τἀναντία. τὰς δὲ συμβουλίας πιστο-
τέρας ὑπολαμβάνετ' εἶναι τὰς τῶν πρέσβεων· ὡς γὰρ
εἰδότων περὶ ὧν ἐπέμφθησαν ἀκούετε· οὐδὲν οὖν ἐξε-
λέγχεσθαι δίκαιός ἐστιν ὁ πρεσβευτὴς φαῦλον οὐδ'
6 ἀσύμφορον ὑμῖν συμβεβουλευκώς. καὶ μὴν περὶ ὧν
γε προσετάξατ' εἰπεῖν ἢ πρᾶξαι καὶ διαῤῥήδην ἐψηφί-
σασθε ποιῆσαι, προσήκει διῳκηκέναι. εἶεν· τῶν δὲ
δὴ χρόνων διὰ τί; ὅτι | πολλάκις ὦ ἄνδρες Ἀθηναῖοι 343
συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν
βραχεῖ χρόνῳ γίγνεσθαι, ὃν ἐάν τις ἑκὼν καθυφῇ τοῖς
ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ πάλιν οἷός
7 τ' ἔσται σῶσαι. ἀλλὰ μὴν ὑπέρ γε τοῦ προῖκα ἢ μή,

§ 5. Inter ὁ et πρεσβευτὴς "in S. tres literae (αει, ut videtur) erasae. In marg. a m. sec. γρ. δίκαιός ἐστιν ὁ πρ." Dind.

§ 6. "Supra ὧν in S. signum positum est ad quod refertur ἐπέμφθησαν, quod in marg. scriptum est. Tum post γε a m. antiqua insertum ἤ." Dind. γ' ἢ Voem. ἂν pro ἐὰν S. et Ed. Turic. Voemel. Bekk. st.

upon his return from the embassy: (2.) for the advice he gives you and induces you to follow in consequence of his reports (συμβουλίας below): (3.) for his attention to your instructions: (4.) for the times and opportunities which he has wasted or improved: (5.) to crown all, for his corruption or integrity during his embassy.——εἰ...πέπρακται.] "if incorruptly or not all this has been done." πέπρακται is not and cannot be *active*.

§ 5. τί δή ποτε τούτων;] i. e. προσήκει λόγου λαβεῖν.

§ 6. διαῤῥήδην ἐψηφίσασθε.] "You have expressly passed a resolution to that effect, you have set down in so many words in his written instructions." Hence the common expression παρὰ τὸ ψήφισμα πρεσβεύειν. I cannot conceive, after reading this speech, how it could have struck any one that the ambassadors had received no precise instructions.

343. § 7. ὑπέρ γε τοῦ προῖκα ἢ μή.] "Moreover touching his having gone on the embassy with or without receiving a bribe." About this use of περὶ or ὑπὲρ consult Bremi on I. Olynth. p. 14 § 19. (Schaef. App. Crit. T. I.

342 σκευάσει μηδένα | εἶναι κατήγορον αὐτοῦ, παντάπασιν ἄκυροι πάντων ὑμεῖς γενήσεσθε.

Τὸ μὲν οὖν ἐξελέγχειν πολλὰ καὶ δεινὰ πεποιη- 3
κότα τουτονὶ καὶ τῆς ἐσχάτης ὄντα τιμωρίας ἄξιον θαῤῥῶ καὶ πάνυ πιστεύω· ὃ δὲ καίπερ ὑπειληφὼς ταῦτα φοβοῦμαι, φράσω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι, ὅτι μοι δοκοῦσιν ἅπαντες οἱ παρ' ὑμῖν ἀγῶνες οὐχ ἧττον ὦ ἄνδρες Ἀθηναῖοι τῶν καιρῶν ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολὺν δέδοικα, μή τινα λήθην ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν ἐμπεποίηκεν. ὡς δή μοι δοκεῖτ' 4
ἂν ὅμως ἐκ τούτων καὶ γνῶναι τὰ δίκαια καὶ δικάσαι νυνί, τοῦθ' ὑμῖν λέξω· εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, καὶ λογίσαισθε τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν. πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ

§ 3. *ἐξελέγχειν* vulg. ante Bekk. *ἐξελέγξειν* S. Q. *ἐξελέγ$^{\xi}$χειν* F. t. et B. Utra sane potior lectio difficilis est optio: quanquam male me habet *θαῤῥῶ τὸ ἐξελέγξειν*. Cf. tamen Aphob. p. 844 § 2 *τῷ ἐξελέγξειν πιστεύων*, ubi *ἐξελέγχειν* pr. S. *ἐμπεποίηκεν* scripsi post Markland. et Elmsl. ad Soph. Ajac. 278. (Mus. Crit. T. I. p. 356.) [Vid. App. A.] Vulg. *ἐμπεποιήκει* s. *-κῃ· πεποιήκῃ* pr. S. sequente (ut assolet) Ed. Turic.

§ 4. *δοκοῖτ'* multi Codd. solenni errore. Mox *λέξω· σκέψασθε...... καὶ λογίσασθε* Ed. Turic. Speciosa sane lectio: cum praeter *a*^{m} *e*^{m} *ζ*^{m} *σκέψασθε* et *λογίσασθαι* (sic) praebeat S. quanquam fateor nescio quid abrupti inesse locutioni nec constat *εἰ* in Cod. S. omissum. ["*εἰ σκέψασθε* pr. S. pallido atramento, *ῑ* insertum est post *ᾱ*." Voem.]

γοντα δέει καὶ φόβῳ τὸ δίκην ὧν ἂν ἀδικηθῇ τις λαμβάνειν παρ' αὐτοῦ ἄλλο τι χρὴ νομίζειν ποιεῖν ἢ τὰς τῆς ἰσηγορίας καὶ τὰς τῆς ἐλευθερίας ἡμῶν μετουσίας ἀφαιρεῖσθαι.

342. § 3. "It strikes me that all actions tried before you pertain equally to times and seasons as to facts, and that a length of time has elapsed since the embassy, I am afraid has produced within you a forgetfulness of or a familiarity with his crimes." For the *second* embassy left Athens April 346 B.C. and this action was not brought till August 343 B.C.

§ 4. *ὅμως ἐκ τούτων.*] "notwithstanding, after all this." Comp. Eur. Med. 458 *ὅμως δὲ κἀκ τῶνδ'*. Soph. Trach. 1109 *χειρώσομαι κἀκ τῶνδε*. Aesch. Choeph. 340.——*πρῶτον μὲν τοίνυν, κ.τ.λ.*] An ambassador is responsible (1.) for his reports

ὧν προσετάξατε αὐτῷ, μετὰ ταῦτα τῶν χρόνων, ἐφ'
ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως ἢ μὴ πάντα ταῦτα
5 πέπρακται. τί δή ποτε τούτων; ὅτι ἐκ μὲν τῶν ἀπαγ-
γελιῶν τὸ βουλεύσασθαι περὶ τῶν πραγμάτων ὑμῖν
ἐστίν· ἂν μὲν οὖν ὦσιν ἀληθεῖς, τὰ δέοντα ἔγνωτε, ἂν
δὲ μὴ τοιαῦται, τἀναντία. τὰς δὲ συμβουλίας πιστο-
τέρας ὑπολαμβάνετ' εἶναι τὰς τῶν πρέσβεων· ὡς γὰρ
εἰδότων περὶ ὧν ἐπέμφθησαν ἀκούετε· οὐδὲν οὖν ἐξε-
λέγχεσθαι δίκαιός ἐστιν ὁ πρεσβευτὴς φαῦλον οὐδ'
6 ἀσύμφορον ὑμῖν συμβεβουλευκώς. καὶ μὴν περὶ ὧν
γε προσετάξατ' εἰπεῖν ἢ πρᾶξαι καὶ διαῤῥήδην ἐψηφί-
σασθε ποιῆσαι, προσήκει διῳκηκέναι. εἶεν· τῶν δὲ
δὴ χρόνων διὰ τί; ὅτι | πολλάκις ὦ ἄνδρες Ἀθηναῖοι 343
συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν
βραχεῖ χρόνῳ γίγνεσθαι, ὃν ἐάν τις ἑκὼν καθυφῇ τοῖς
ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ πάλιν οἷός
7 τ' ἔσται σῶσαι. ἀλλὰ μὴν ὑπέρ γε τοῦ προῖκα ἢ μή,

§ 5. Inter ὁ et πρεσβευτὴς "in S. tres literae (αει, ut videtur) erasae. In marg. a m. sec. γρ. δίκαιός ἐστιν ὁ πρ." DIND.

§ 6. "Supra ὧν in S. signum positum est ad quod refertur ἐπέμφθησαν, quod in marg. scriptum est. Tum post γε a m. antiqua insertum ἤ." DIND. γ' ἤ VOEM. ἂν pro ἐὰν S. et ED. TURIC. VOEMEL. BEKK. st.

upon his return from the embassy: (2.) for the advice he gives you and induces you to follow in consequence of his reports (συμβουλίας below): (3.) for his attention to your instructions: (4.) for the times and opportunities which he has wasted or improved: (5.) to crown all, for his corruption or integrity during his embassy.——
εἰ...πέπρακται.] "if incorruptly or not all this has been done." πέπρακται is not and cannot be *active*.

§ 5. τί δή ποτε τούτων;] i. e. προσήκει λόγου λαβεῖν.

§ 6. διαῤῥήδην ἐψηφίσασθε.] "You have expressly passed a resolution to that effect, you have set down in so many words in his written instructions." Hence the common expression παρὰ τὸ ψήφισμα πρεσβεύειν. I cannot conceive, after reading this speech, how it could have struck any one that the ambassadors had received no precise instructions.

343. § 7. ὑπέρ γε τοῦ προῖκα ἢ μή.] "Moreover touching his having gone on the embassy with or without receiving a bribe." About this use of περὶ or ὑπὲρ consult Bremi on I. Olynth. p. 14 § 19. (Schaef. App. Crit. T. I.

τὸ μὲν ἐκ τούτων λαμβάνειν, ἐξ ὧν ἡ πόλις βλάπτε-
ται, πάντες οἶδ' ὅτι φήσαιτ' ἂν εἶναι δεινὸν καὶ πολλῆς
ὀργῆς ἄξιον. ὁ μέντοι τὸν νόμον τιθεὶς οὐ διώρισε
τοῦτο, ἀλλ' ἁπλῶς εἶπε μηδαμῶς δῶρα λαμβάνειν,
ἡγούμενος, ὡς ἐμοὶ δοκεῖ, τὸν ἅπαξ λαβόντα καὶ δια-
φθαρέντα ὑπὸ χρημάτων οὐδὲ κριτὴν ἔτι τῶν συμφε-
ρόντων ἀσφαλῆ μένειν τῇ πόλει. ἂν μὲν τοίνυν ἐξ- 8
ελέγξω καὶ δείξω σαφῶς Αἰσχίνην τουτονὶ καὶ μηδὲν
ἀληθὲς ἀπηγγελκότα καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον
ἀκοῦσαι τἀληθῆ, καὶ πάντα τἀναντία τῶν συμφερόν-
των ὑμῖν συμβεβουλευκότα, καὶ μηδὲν ὧν προσετάξατε
ἐν τῇ πρεσβείᾳ πεποιηκότα, καὶ ἀνηλωκότα τοὺς χρό-
νους ἐν οἷς πολλῶν καὶ μεγάλων πραγμάτων καιροὶ
προεῖνται τῇ πόλει, καὶ πάντων τούτων δῶρα καὶ
μισθοὺς εἰληφότα μετὰ Φιλοκράτους, καταψηφίσασθε
αὐτοῦ καὶ δίκην ἀξίαν τῶν ἀδικημάτων λάβετε· ἂν δὲ
μὴ δείξω ταῦτα ἢ μὴ πάντα, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε,
τουτονὶ δὲ ἄφετε.

Πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων ἔτι πρὸς 9

§ 7. Pro *εἶπε, ἀπεῖπεν γρ.* S. Y. Q. quod haud scio an reponendum.

§ 8. Post *συμφερόντων* om. *ὑμῖν* S. k. s. Ed. Turic. Voem. Bekk. st. *ποιήσαντα* S. Y. quod nemo opinor praeter Ed. Turic. temere recepturus sit inter tot *perfecta ἀπηγγελκότα......κεκωλυκότα......συμβεβουλευκότα......ἀνηλωκότα......εἰληφότα.* [Receperunt tamen Voem. Bekk. st.] *τοῦτον* ult. lin. S. Y. Ed. Turic. Voem. Dind. Bekk. st.

p. 210.)——*ἐκ τούτων...ἐξ ὧν neuter.*

§ 8. *ἂν δὲ μὴ δείξω...*] "If I shall not prove these five points, or if I shall not prove every one of them, &c." Reiske, who enclosed *ἢ μὴ* in brackets, wonderfully lost sight of the force of the passage.

§ 9. Observe *κατηγορεῖν* used *absolutely* without a genitive. "Having yet many monstrous charges to bring."—Dobr. Adv. I. i. p. 247 "quaero exemplum constructionis *κατηγορεῖν* cum accus. rei sine genit. personae," quoting however Arist. Ran. 996 *δεινὰ γὰρ κατηγόρηκεν.* So Dem. Timocr. p. 765 § 212 *ἐπειδὴ τἄλλα κατηγόρησεν*, Andoc. Myster. § 7 p. 1 St. = 3 R. *πολλὰ καὶ δεινὰ κατηγορήσαντες.* Auct. Alcib. i. 105 A *ἕτερα αὖ κατηγορήσω διανοήματα σὰ πρὸς αὐτὸν*

τούτοις ἕτερα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ὧν οὐκ ἔσθ' ὅστις
ἂν οὐκ εἰκότως μισήσειεν αὐτόν, βούλομαι πρὸ πάντων
ὧν μέλλω λέγειν μνημονεύοντας ὑμῶν οἶδ' ὅτι τοὺς
πολλοὺς ὑπομνῆσαι εἰς τίνα τάξιν ἑαυτὸν ἔταξεν Αἰσ-
χίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον καὶ τίνας λόγους κατὰ
τοῦ Φιλίππου δημηγορεῖν ᾤετο | δεῖν, ἵν' εἰδῆθ' ὅτι 344
τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν
ἀρχῇ μάλιστα ἐξελεγχθήσεται δῶρα ἔχων. ἔστι τοίνυν

§ 9. εἰς (post ὑπομνῆσαι) om. S. Voem. Bekk. st. Utrumque probum. Post ἐν ἀρχῇ vulg. τούτοις μάλιστα πάντων· sed τούτοις om. F. S. ["τούτοις a m. sec. in marg. habet S." Dind.] Y. Q. t. u. πάντων om. F. S. Y. Q. O. s.

σέ. It is curious to observe a difficulty which Heindorf felt on a passage (not altogether dissimilar) in Plat. Theaet. 206 E μὴ τοίνυν ῥᾳδίως καταγιγνώσκωμεν τὸ μηδὲν εἰρηκέναι τὸν ἀποφηνάμενον ἐπιστήμην ὃ νῦν σκοποῦμεν. His note is, "In his aut τοῦ μηδὲν εἰρηκέναι (this is palpably wrong) aut τοῦ ἀποφηναμένου scribendum putabo, donec certum aliquod aliunde exemplum structurae hujus καταγιγνώσκειν τινά τι prolatum videro." Translate: "Let us not be too ready to pronounce this judgement, that the man who defined ἐπιστήμη to be what we are now considering has talked idly." ——βούλομαι.] "I wish before all that I am going to say, though the majority of you I am certain (οἶδ' ὅτι, see Matthiae, § 624) remember it, to remind you under what party in politics Aeschines in his early career ranked himself." For this sense of πολιτεία, compare particularly Dem. de Coron. p. 257 § 93 ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία.

344. § 9. *ὑφ' ἑαυτοῦ.*] This construction is found §§ 29, 109, 127, 173, 331 (where obviously τῶν ὑμῖν πεπιστευμένων would have been obscure). The more usual construction after passive *perfects* is the *dative*, "quod in Tironum gratiam dictum velim." ——ἐν ἀρχῇ is to be joined with the preceding participles, "his actions and speeches in the outset of his political life."

δεινὰ πρεσβεύσας, καὶ χώρας ἐκδεδωκὼς ἐν αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν συμμάχων τιμᾶσθαι προσῆκεν, ἠτίμωσεν ὑπακούσαντά τιν' αὐτοῦ κατήγορον. διὰ τί; ἵνα μήτε ἐλέου μήτε συγγνώμης ἐφ' οἷς αὐτὸς

DIND. VOEM. BEKK. st. Neque omissum requirerem, si omitteretur καὶ βούλομαι.

§ 291. κατήγορον, αὐτοῦ BEKK. (αὐτοῦ st.) VOEM.——κατηγορεῖν DOBR. injuria opinor. Mox διὰ τί in ἵνα τί vult SCHAEFER.

Aeschines prosecuted and deprived of his franchise one of his accusers. What is the result of this? To wit, he will meet with no commiseration, no fellow-feeling at your hands. Nay more, in his accusation he chose to revile me. And what is the result of this? I who know his villanous conduct better than any one shall meet with your greater forbearance in my conducting the present prosecution than I otherwise should have done, because as one of his colleagues, the task I have undertaken naturally is somewhat invidious. Nay more: he has by his artifices put off the trial so long, that it has fallen upon a most critical period, at which, such are the events that have occurred subsequently to the embassy, you cannot choose but condemn him if you have any regard for your own security. In all this I acknowledge the providence of heaven.——Bekk. Anecd. 38, 21 ἔνδειγμα: δεῖγμα, τεκμήριον ἐναργές. ὡς ἐπιθύμημα ἀντὶ τοῦ ἐπιθυμία, οὕτως ἔνδειγμα ἀντὶ τοῦ ἔνδειξις. Δημοσθένης ἐν τῷ παραπρεσβείας.

§ 291. ὑπακούσαντα] "One who, when called upon, obeyed the call." Timarchus did not volunteer to conduct the prosecution against Aeschines, did not come forward as a συκοφάντης, or from any personal vindictive motive, but from patriotic feeling and in obedience to the wishes of his friends and all loyal citizens. For ὑπακούειν, "to get up to speak when called upon," see below p. 434 § 332. [I do not cancel the above, but C. R. Kennedy's version "disfranchised an accuser who obeyed his challenge" may be considered by some readers more satisfactory. A third interpretation may be suggested; "who did not retire (i. e. when Aeschines brought the action ἑταιρήσεως against him) but appeared in court." Cf. Hyperid. Euxen. col. 19 l. 3 ἦν σπάνιον ἰδεῖν ἀπ' εἰσαγγελίας τινὰ κρινόμενον ὑπακούσαντα εἰς τὸ δικαστήριον (comp.

ἠδίκηκε τύχῃ. ἀλλὰ καὶ κατηγορῶν ἐκείνου κακῶς λέγειν προείλετο ἐμέ, καὶ πάλιν ἐν τῷ δήμῳ γραφὰς ἀποίσειν καὶ τοιαῦτ' ἠπείλει. ἵνα τί; ἵν' ὡς μετὰ πλείστης συγγνώμης παρ' ὑμῶν ὁ τὰ τούτου πονηρεύματ' ἀκριβέστατα εἰδὼς ἐγὼ καὶ παρηκολουθηκὼς
292 ἅπασι κατηγορῶ. ἀλλὰ καὶ διακρουόμενος πάντα 258

quod infra praebent S. Y. Nam et ibi vulg. ante Bekk. διὰ τί; Vid. not.——ἠδίκηκε F. S. Y. Q. r. ἠδίκησε vulgo.

§ 292. διακρουσάμενος η^{m}. Mavult Reisk. Sed recte Schaefer. "Praestat imperfectum. Aeschines διεκρούετο (non διεκρούσατο)

above οὐδεὶς ὑπέμεινε τὸν ἀγῶνα, ἀλλ' αὐτοὶ ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως) where Schneidewin aptly quotes Isae. de Nicostr. § 28 p. 49 St. = 84 R. ὑποχωρῶν ᾤχετο καὶ οὐχ ὑπήκουσεν. But then how unnecessarily is the word dragged in. I think still Schaefer's explanation the true one.]——διὰ τί;] "With what view? what end was to follow?" διὰ with *accusative* not only signifies the *cause* or *motive* (*owing to*), but *the end*, either *the consequence*, or *the purpose*. So Thucyd. IV. 40 ἐρομένου...... δι' ἀχθηδόνα, "for the purpose of annoying," 102 διὰ τὸ περιέχειν αὐτήν, "with a view to surround it," V. 53 διὰ τοῦ θύματος τὴν ἔσπραξιν, "for the sake of exacting the sacrifice," III. 82 ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν, "power for the sake of gratifying, &c."——γραφὰς ἀποίσειν] "To carry the bill of indictment and lodge it in the hands of the preliminary magistrate" (*deferre ad magistratum*). The full expression ἀποφέρειν πρὸς τὸν ἄρχοντα occurs Theocrin. p. 1332 § 32.——παρηκολουθηκώς] "Who had kept my eye constantly on all his proceedings during the whole time, never had lost sight of him, but had been in close and watchful attendance upon him." Taylor quotes de Coron. p. 285 § 172 παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς.

§ 292. διακρουόμενος] See on § 37.——ὑπῆκται] "Has been brought into court." ὑπάγειν τινὰ εἰς δίκην is not uncommon, e.g. Thucyd. III. 70. The *passive* (Xenoph. I. Hellen. 3. 19 ὑπαγόμενος θανάτου) is less frequent, as in this class of verbs the Greeks prefer *neuters* to *passives:* εἰσιέναι instead of εἰσάγεσθαι (though εἰσάγεται Din. c. Dem. § 105 p. 103 St. = 71 R. εἰσήχθη Dem. Timocr. p. 727 § 83 Auct. Euerg. p. 1147 § 28, εἰσαχθεὶς Plat. Gorg. 521 C, εἰσαχθεὶς εἰς τὸ δικαστήριον Lys. VI. § 21 p. 105 St. = 219 R)., φεύγειν for διώκεσθαι (though Arist. Ach. 700 διωκόμενος, but with a *play upon the word*. διωκόμενος and διωχθεὶς Antiph. II. § 5, 6 p. 115 St. = 626 R.). Many other passages might be cited. I give one or two from the Poets, for they are not so easily altered as quotations from Prose writers. (Cobet Var. Lect. p. 54 *foll.* and elsewhere considers all such *passives* to be foisted in by the *magistelli*.) Eurip. Ion 811 ἐκβαλλόμεσθα

τὸν ἔμπροσθεν χρόνον εἰσελθεῖν εἰς τοιοῦτον ὑπῆκται καιρόν, ἐν ᾧ τῶν ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐχ οἷόν τε οὐδ' ἀσφαλὲς ὑμῖν δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐᾶσαι· ἀεὶ μὲν γάρ, ὦ ἄνδρες
424 Ἀθηναῖοι, προσήκει | μισεῖν καὶ κολάζειν τοὺς προδότας καὶ δωροδόκους, μάλιστα δὲ νῦν ἐπὶ καιροῦ τοῦτο γένοιτ' ἂν καὶ πάντας ὠφελήσειεν ἀνθρώπους
259 κοινῇ. νόσημα γὰρ ὦ ἄνδρες Ἀθηναῖοι δεινὸν ἐμπέ- 293
πτωκεν εἰς τὴν Ἑλλάδα καὶ χαλεπὸν καὶ πολλῆς τινὸς εὐτυχίας καὶ παρ' ὑμῶν ἐπιμελείας δεόμενον. οἱ γὰρ ἐν ταῖς πόλεσι γνωριμώτατοι καὶ προεστάναι τῶν

ἅπαντα τὸν ἔμπροσθεν χρόνον." Mox ἔμπροσθε Y. Dind.——ἐπὶ τοῦ καιροῦ τούτου citat Dion. Halic. T. ii. p. 171 *Ed. Sylburg.*

§ 293. νόσημα δεινὸν γρ. S. Sed alterum νόσημα om. etiam Dion. H. Placet Schaefero.——συντυχίας Dion. Halic. sc. ЄΥΤΥΧΙΑΣ primo in CΥΤ. deinde in CΥΝΤ. corruptum.——τῆς παρ' ὑμῶν Y. O. t. u. v. fortasse alii (nam tacet Lambin.). παρ' F. (τῆς superscript)

καὶ σὸν οὐ στυγῶν πόσιν (perhaps Cobet would read ἐκπίπτομεν καὶ σὸν μὲν οὐ στ. π.), Electr. 412 ποίμναις ὁμαρτεῖ πόλεος ἐκβεβλημένος (where even Cobet's critical acumen cannot thrust in ἐκπεπτωκώς), Aristoph. Equit. 525 ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη (here too perhaps Cobet may refer εἶτ' ἐξέπεσεν). Elsewhere in the Orators ὑπάγειν = προάγειν, or means "to bring one over into anything in an underhand manner," in which sense the *middle* is usual.

424. § 293. εὐτυχίας] "Good fortune," as § 300 δυστυχίαν is applied to those who had not escaped the contagion. The Orator speaks of the all-importance of εὐτυχία de Pace p. 59 § 11 δι' εὐτυχίαν ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀνθρώποις οὔσης δεινότητος καὶ σοφίας ὁρῶ κρατοῦσαν. Taylor's proposed emendation εὐλαβείας (he compares § 297) is certainly unnecessary. This passage has been quoted by many subsequent writers. Plin. ix. Epist. 26 thus refers to it: "Jam quid audentius illo pulcerrimo ac longissimo excessu? νόσημα γάρ."——ἀξιούμενοι (not *middle* but) *passive.* Herod. i. 199, vii. 16, uses the *middle.* So Aeschyl. Agam. 370 ἀξιοῦσθαι, Eumen. 425, ἀπηξιώσατο 367. But to the best of my knowledge no writer of Attic prose. ἀξιοῦσθαι is *passive* in Plat. Theaet. 161 D ὥστε καὶ ἄλλων διδάσκαλος ἀξιοῦσθαι (if *middle*, εἶναι would have been added). So in Aristot. Eth. Nic. iv 8 = 3, 19, 20 ἀξιοῦται τιμῆς. When the estimate which ὁ μεγαλόψυχος forms of himself is spoken of, the language used is ἀξιοῖ ἑαυτὸν τιμῆς e.g. 7 = 3, 11. In Rhet. ii. 10, 11 οἱ δ' ἐλεεῖσθαι......ἀξιού-

κοινῶν ἀξιούμενοι, τὴν αὑτῶν προδιδόντες ἐλευθερίαν οἱ δυστυχεῖς, αὐθαίρετον αὑτοῖς ἐπάγονται δουλείαν, Φιλίππου ξενίαν καὶ ἑταιρίαν καὶ φιλίαν καὶ τοιαῦθ'
294 ὑποκοριζόμενοι· οἱ δὲ λοιποὶ καὶ τὰ κύρι' ἅττα ποτ' ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν καὶ παραχρῆμα ἀποκτιννύναι, τοσοῦτ' ἀπέχουσι

Schaefero non displicet. Sed ignorat articulum etiam Dion. H. neque additur ante εὐτυχίας.——δουλίαν S. Mox Φιλίππῳ S. O. t. u. v. Harl. vett. Edd. ED. TURIC. DIND. VOEM. BEKK. st. Lectio non temere abjicienda, si ita interpungas δουλείαν Φιλίππῳ, ξενίαν. Nam certe in Φιλίππῳ ξενίαν κ.τ.λ. salebrosa inest oratio. Φιλίππου Phot. et Suid. sub voc. ὑποκοριζόμενοι. Iidem mox καὶ ἑταιρείαν καὶ τὰ τοιαῦτα ὑπ.——ὑποκορακιζόμενοι pr. s. ὑποκρινόμενοι Harl.
§ 294. οἱ δὲ πολλοὶ TAYLOR. Vid. not. Mox τοσοῦτ' S.

μενοι, I should render "those for whom a claim is put in that they receive pity."——ὑποκοριζόμενοι] "Glossing it over with the milder and softer words." See Ruhnk. on Timae. Lex. Platon. in ὑποκορίζεσθαι. The word seems properly to have signified, "to use coaxing and endearing terms to a child." See Theophr. xx. Charact. καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος, μασσώμενος σιτίζειν αὐτός, καὶ ὑποκορίζεσθαι ποππύζων. Hence it was used of *diminutives* (so naturally employed in playing with children) Arist. III. Rhet. 2, 15 ἔστι δὲ ὁ ὑποκορισμός, ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν. He instances χρυσιδάριον, ἱματιδάριον, λοιδορημάτιον, νοσημάτιον, formed from χρυσίον, ἱμάτιον, λοιδορία, νόσημα. Comp. Aristoph. Plut. 1011 νηττάριον ἂν καὶ φάττιον ὑπεκορίζετο. Also (as in Pindar Pyth. III. 19) of the hymeneal songs (the burden of which was σὺν κόροις τε καὶ κόραις. See Herm. Opusc. II. p. 327), probably too with allusion to the "Fescennina locutio," as the Romans called it, veiled under decency of language. This interpretation comes nearly to its most frequent use, which is presented by this passage: "to veil that which is odious and disgusting under euphemisms." What is to be made of Xen. Memorab. II. 1, 26 οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσί με Κακίαν, unless we are to consider that Aristotle's words above quoted have a wider extension than is generally allowed, I confess I cannot see. Etymol. Magn. 782, 34 ὑποκορίζεται, κολακεύει, ὑποκρίνεται (see *Annot. Crit.*), ὑποκοριζόμενοι Ξενοφῶν ἀντὶ τοῦ διασύροντες· ὁ δὲ Δημοσθένης ἐχρήσατο τῇ λέξει ἀντὶ τοῦ εὐφημοῦντος, καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντος. See also Suid. Phot. Scholiast to Plat. Republ. III. 400 E.

§ 294. οἱ δὲ λοιποὶ καὶ τὰ κύρι'] "But the rest (i.e. besides the *notables*, and other foremost men in the states) and the governing bodies whatever

τοῦ τοιοῦτόν τι ποιεῖν, ὥστε θαυμάζουσι καὶ ζηλοῦσι
260 καὶ βούλοιντ' ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι. καίτοι 295
τοῦτο τὸ πρᾶγμα καὶ τὰ τοιαῦτα ζηλώματα Θετταλῶν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μέχρι μὲν ἐχθὲς καὶ πρῴην τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμα ἀπολωλέκει, νῦν δ' ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται (τὰς γὰρ ἀκροπόλεις αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσιν)· εἰς Πελοπόννησον δ' εἰσελθὸν τὰς ἐν Ἤλιδι σφαγὰς πεποίηκε, καὶ τοσαύτης παρανοίας καὶ μανίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους ὥσθ', ἵν' ἀλλήλων ἄρχωσι καὶ Φιλίππῳ χαρίζωνται, συγγενεῖς αὐτῶν καὶ πολίτας

τοσοῦτον vulgo. Cf. § 113. βούλοιτ' vulg. ante Bekk. Dudum conjecerat βούλοιντ' Dobr. Habet S. Y. Q. O. B. et corr. u.

§ 295. καὶ τοιοῦτο S. Vid. ad § 35.——τὰ (ante τοιαῦτα) om. pr. S. Ed. Turic.——ἢ πρῴην S. Y. Bekk. [et st.] Ed. Turic. Dind. Voem. Sed χθὲς καὶ πρῴην, de Coron. p. 270 § 130 χθὲς μὲν οὖν καὶ πρῴην [ἐχθὲς Q.], Plat. Gorg. 470 D τὰ ἐχθὲς [χθὲς duo Codd.]......καὶ πρῴην, III. Legg. 677 D χθὲς καὶ πρῴην. Vid. Lob. ad Phrynich. p. 323. Ceterum Grammatici sunt qui tradunt χθὲς Atticorum esse proprium, ἐχθὲς autem Ἑλληνικόν· e.g. Moer. p. 402. Veriora docet Thom. Mag. p. 913 collato Aristoph. Nub. 175 ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας. Cf. Pac. 72, 197, 260. [χθὲς F. Q. § 231.]——ἀπωλωλέκει F. Y. Vid. ad § 66.——παραιτεῖται O. t. u. δ^m^.——παρανομίας F. O. t. u. v. παροινίας Anecd. Bekk. p. 163, 8.——παρανομίας, καὶ μανίας καὶ παροινίας vulg. ante Bekk. Sed παροινία hic locum non habet, et facile παράνοια in utrumque corruptum. Sic III. Phil. p. 124 § 54 παροινίας O.

form the constitutions of the several states adopt." For τὰ κύρια, see on § 205. Taylor's οἱ πολλοὶ is specious, but certainly wrong, as the words immediately following shew. *The many* would side with the *governing body* only in a *democratical state*, whereas *all constitutions of whatever sort* are here expressly mentioned. The term οἱ γνώριμοι (so common in Aristotle's Politics: see also Dem. de Cherson. p. 106 § 66, [Dem.] Epist. II. p. 1468 § 5) applies to men of birth or talent, who were in a position at once commanding influence and fraught with danger to the community of which they were members. See the names of several of these de Coron. p. 241 § 48.

§ 295. ἡγεμονίαν] "The rule exercised by a sovereign state over her vassals."——ἡγεμονία and ἀξίωμα are joined de Coron. p. 246 § 65. For the affairs of Thessaly at this time, see Thirlw. VI. 12 *foll.*——τὰς ἐν Ἤλιδι σφαγάς] Thirlw. VI. 17, 18.

296 μιαιφονεῖν. καὶ οὐδ' ἐνταῦθ' ἕστηκεν, ἀλλ' εἰς Ἀρκα- 261
δίαν εἰσελθὼν πάντ' ἄνω καὶ κάτω τἀκεῖ πεποίηκε,
καὶ νῦν Ἀρκάδων πολλοὶ προσῆκον αὐτοῖς ἐπ' ἐλευ-
θερίᾳ μέγιστον φρονεῖν ὁμοίως ὑμῖν (μόνοι γὰρ πάντων
αὐτόχθονες ὑμεῖς ἐστὲ κἀκεῖνοι) Φίλιππον | θαυμά- 425
ζουσι καὶ χαλκοῦν ἱστᾶσι καὶ στεφανοῦσι, καὶ τὸ
τελευταῖον, ἂν εἰς Πελοπόννησον ἴῃ, δέχεσθαι ταῖς
297 πόλεσίν εἰσιν ἐψηφισμένοι. ταὐτὰ δὲ ταῦτα Ἀργεῖοι. 262
ταῦτα νὴ τὴν Δήμητρα, εἰ δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ
μικρᾶς δεῖται, ὡς βαδίζον γε κύκλῳ καὶ δεῦρ' εἰσε-
λήλυθεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ νόσημα τοῦτο. ἕως
οὖν ἔτ' ἐν ἀσφαλεῖ, φυλάξασθε καὶ τοὺς πρώτους

§ 296. Post ὁμοίως, ἡμῖν S. —— ἐν ταῖς πόλεσιν Markl. Vid. not.——εἰσιν Ἀργεῖοι S. Y. Ed. Turic. Dind. Voem.

§ 297. μὰ τὴν Δ. Reisk. Sed νὴ F. S. Y. r. t. u. v. "Recte νὴ Bekker. Enuntiatio enim est aiens, quodque in ea inest οὐ pertinet ad solum μικρᾶς." Schaef. Cf. Plat. Gorg. 491 A νὴ τοὺς θεοὺς...οὐδὲν παύει. Arist. Nub. 217 ἀλλ' οὐχ οἷόν τε νὴ Δί'. [Sed ibi rectius Meinek. post Cobet. M. ἀλλ' οὐχ οἷόν τε. Σ. νὴ Δί' οἰμώξεσθ' ἄρα.] Contra tamen Nost. Conon. p. 1265 § 26 μὰ τοὺς θεοὺς......οὐδεὶς ὅστις οὐκ ἐπετίμα. Plat. Gorg. 461 A μὰ τὸν κύνα οὐκ ὀλίγης συνουσίας ἐστίν.——Δημήτραν Q. r. A². B. Vid. Lobeck. Paralip. p. 142.——ἐλήλυθεν S. Bekk. [et st.] Ed. Turic. Dind. Voem. "Conf. p. 424, 22 et 27." Schaef. Vid. ad § 108.——ἔστ' ἐν ἀσφαλεῖ vulg. ante Bekk. ἔτ' S. ἔστε r. et γρ. S.

§ 296. "*αὐτόχθονας Arcadas in avitis sedibus* ab ultima hominum memoria *permansisse*, tres testantur historici principes Herod. II. 171, Thucyd. in prooemio [I. 2] et Xenoph. Ἑλλ. VII. p. 361, 16 [VII. 1. 23] ubi civibus suis animos indit Lycomedes λέγων ὡς μόνοις μὲν αὐτοῖς Πελοπόννησος πατρὶς εἴη· μόνοι γὰρ αὐτόχθονες ἐν αὐτῇ οἰκοῖεν." Valck. ad Herod. VIII. 73.

425. § 296. δέχεσθαι ταῖς πόλεσιν] "To receive within their walls." Dobree compares Leptin. p. 472 § 52. So Thuc. IV. 103, Eurip. Bacch. 770, Arist. Aves 1708. δέχεσθαι with a dative generally signifies "to receive from or at the hands of another." See Porson on Eurip. Hecub. 533, Hermann on Soph. Electr. 434. The dative may also be used instrumentally: *that wherewith we receive a person:* as Aristoph. Aves 1729 ὑμεναίοις | καὶ νυμφιδίοισι δέχεσθ' ᾠδαῖς. In Eurip. Ion 87 τὴν ἡμερίαν | ἁψῖδα βροτοῖσι δέχονται, Hermann, joining βροτοῖσι with δέχεσθαι, translates "for mortals." It may not be altogether improper to join it with ἡμερίαν: "the car (*wheel*) which ushers in day to mortals."

εἰσαγαγόντας ἀτιμώσατε· εἰ δὲ μή, σκοπεῖθ' ὅπως μὴ τηνικαῦτα εὖ λέγεσθαι δόξει τὰ νῦν εἰρημένα, ὅτε οὐδ'
263 ὅ τι χρὴ ποιεῖν ἕξετε. οὐχ ὁρᾶτε ὡς ἐναργὲς ὦ ἄνδρες 298
Ἀθηναῖοι καὶ σαφὲς παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἳ παρ' οὐδὲν οὕτως ὡς τὸ τὰ τοιαῦτα ποιεῖν ἀπολώλασιν, οἱ δείλαιοι. ἔχοιτε δ' ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων αὐτοῖς. ἐκεῖνοι γάρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους πεντακισχιλίων τὸν ἀριθμόν, οὔπω Χαλκιδέων πάντων εἰς ἓν συνῳκισμέ-
264 νων, Λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων πολλῇ καὶ 299
πεζῇ καὶ ναυτικῇ δυνάμει (ἴστε γὰρ δήπου τοῦθ', ὅτι γῆς καὶ θαλάττης ἦρχον ὡς ἔπος εἰπεῖν Λακεδαιμόνιοι κατ' ἐκείνους τοὺς χρόνους), ἀλλ' ὅμως τηλικαύτης ἐπ' αὐτοὺς ἐλθούσης δυνάμεως οὔτε τὴν πόλιν οὔτε φρούριον οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτη-

——ἀτιμάσατε (ω superscr.) O. [ἀτιμάσαντες O. de Coron. p. 253 § 82.] ἀτιμάζειν i.q. ἀτιμοῦν fortasse nunquam usurpatur ab iis qui Attice loquuntur. In Plat. Apol. 30 D ἀτιμώσειεν e Stobaeo restituit Elmsl. ad Soph. Ajac. 1129. Vid. Cobet. Nov. Lect. 749...754.——σκοπεῖθ' S. Y. k. s. σκοπεῖτε Q. O. r. t. u. v. σκοπεῖσθ' vulgo.——τηλικαῦτα r. Vid. ad § 45, 163. τηνικαῦτα libri in Isaei Menecl. Hered. § 20, Pyrrh. Hered. § 18, p. 39 St. = 24 R.

§ 298. τὸ τοιαῦτα Bekk. [et st.] Ed. Turic. Dind. Voem. Sed τὸ τὰ τ. F. Q. O. t. u. v. τὰ τοιαῦτα (sine τὸ) Q. r. et pr. S. Ed. Lutet. Itaque τὸ τὰ τ. recepi.

§ 298. καθαρῶς] See § 171. The Olynthic war with Sparta, which arose in consequence of an embassy from certain Chalcidian cities praying for aid against the growing power of Olynthus, began in 382 B.C. not long after the Peace of Antalcidas, and ended 379 B.C. the Olynthians having sued for peace, which was granted on the condition that they became members of the Spartan confederacy. Xenoph. Hellen. v. 2 and 3. Thirlw. v. chap. xxxviii.——πεντακισχιλίων] The MSS. of Xenoph. v. 2, 14 give ὀκτακοσίων as the number, which all agree in altering into ὀκτακισχιλίων. See Thirlw. Vol. v. p. 12.

§ 299. ὅπως ἐβούλοντο κ.τ.λ.] must be taken with some limitation. The Olynthians did not, though it would so appear from the Orator's words, dictate the terms of the peace. See on § 298. Grote, Vol. x. p. 88.

σαν καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν καὶ τὸ τελευταῖον, ὅπως ἐβούλοντο, οὕτω τὸν πόλεμον κατε-
300 θεντο. ἐπειδὴ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ δι' 265
ἀβελτερίαν οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν λεγόντων,
καὶ Λασθένης μὲν | ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδο- 426
νίας δοθεῖσι ξύλοις, Εὐθυκράτης δὲ βοῦς ἔτρεφε πολλὰς τιμὴν οὐδενὶ δούς, ἕτερος δέ τις ἧκεν ἔχων πρόβατα; ἄλλος δέ τις ἵππους, οἱ δὲ πολλοὶ καὶ καθ' ὧν ταῦτ' ἐγίγνετο οὐχ ὅπως ὠργίζοντο ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦντας, ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων,
301 ἄνδρας ἡγοῦντο· ἐπειδὴ δὲ ταῦθ' οὕτω προήγετο καὶ 266
τὸ δωροδοκεῖν ἐκράτησε, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δ' ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώ-

§ 299. ἐβούλοντο S. Edd. rec.
§ 300. ἀβελτερίαν S. r. ἀβελτηρίαν vulgo.——λακεδαιμονίας S. ——Pro ἤρεψε, ἐστέγασε $β^m$. Quod est scholium. "Hesych. T. I. p. 1425 ἔρεψα......ἐστέγασα" Schaef.
§ 301. δὲ (post ἐπειδὴ) om. F. S. Y. Q. O. r. t. u. vett. Edd. Ed. Turic. Dind. Voem. Bekk. st. Addidit Reisk. Mea quidem sententia omitti vix potest.——οἱ (ante προδιδόντες) om. S. k. s. A[1]. Ed. Turic. Dind. Voem. οἱ προδιδόντες omissum volunt Markl. Dobr. Frustra.

426. § 300. ἵππους] Aeschines is called λαμπρὸς ἱπποτρόφος de Coron. p. 331 § 320. The fall of Olynthus was at the close of 348 B.C. We learn from § 303 that the traitors were outlawed at Athens, as Arthmius of Zelea (see § 308) had been on a former occasion. Cp. de Cherson. p. 99 § 40 (from the strong language of which, πάντων κάκιστ' ἀπολώλασιν, it has been inferred that they were put to death by Philip: but see above on § 118) with de Coron. §§ 46—48. See Thirlw. v. 316.

§ 301. ἐπειδὴ δέ] "When *I repeat.*" Cp. Aesch. Agam. 12—16 εὖτ' ἂν δὲ νυκτίπλαγκτον ......ὅταν δ' ἀείδειν......which Klausen has explained very clearly, though he has shewn a most remarkable desire subsequently in the same Tragedy wilfully to go astray. Having predetermined before he edited the Choephoroe that ἐπεὶ δὲ (623) should signify ἔπειτα, he prepares the way for this innovation on sound Greek and sound sense, by forcing the same interpretation upon Agam. 198, and 218. In the former passage the obvious connection is: καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς (184) ......εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύ-

ρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξένοις καὶ τριήρεσι πεντήκοντα ὑμῶν βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἐδυνήθη σῶσαι, ἀλλὰ πρὶν μὲν ἐξελθεῖν ἐνιαυτὸν τοῦ πολέμου τὰς πόλεις ἁπάσας ἀπολωλέκεσαν τὰς ἐν τῇ Χαλ-
267 *κιδικῇ οἱ προδιδόντες, καὶ Φίλιππος οὐκέτ' εἶχεν ὑπα-* 302
κούειν τοῖς προδιδοῦσιν, οὐδ' εἶχεν ὅ τι πρῶτον λάβῃ. πεντακοσίους δ' ἱππέας προδοθέντας, ὑπ' αὐτῶν τῶν

§ 302. Vulg. *οὐκετ' εἶχεν ἐπακούειν* relinquo, quanquam est quod displiceat. *οὐχ ὑπεῖχεν ὑπακούων* S. k. s. A¹. Ed. Turic. Dind. Voem. Bekk. st. *ὑπακούων* δ^m. *ἀκούων* Y. Dobr. *καὶ Φ.*

νοντο......πνοαὶ δ'......ἐπεὶ δὲ καὶ ......ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν· the last words being a repetition of *ἡγεμὼν ὁ πρέσβυς*. In the latter passage, if *τόθεν* must necessarily signify *ὅθεν*, which I strongly doubt notwithstanding Pers. 100, we have a most natural *apodosis* in *ἔτλα δ' οὖν θυτὴρ γενέσθαι κ.τ.λ.* (224). But Klausen is a most unsafe guide: not indeed from ignorance, but petulant self-will: see his note on Choeph. 348 (368) where he actually maintains that *μὴ* is used for *οὐ* "ubicunque negatio quaepiam affirmatur et asseveratur," and for fear his note should be misunderstood or overlooked, translates in his commentary *μηδὲ......τέθαψαι*: "ne id quidem, sane ne id quidem nobis contigit, ut honestam mortem obiret pater." And he is so confident, that he cares not to bring forward a single *specious* instance to support him, his quotations being either mainly from passages where *μὴ* is so used *after an oath* (a peculiarity which admits of explanation), or where *μὴ* follows *ὃς* used *causally* in the sense of *quippe qui*. When an unfortunate person explains *οὐδὲν* by *μηδαμῶς*, one is apt to laugh at his blunder, and rest satisfied that he exposes himself and is unlikely to mislead his readers: but when an editor of Klausen's learning and acuteness is so crotchety as to adopt for his motto "video meliora proboque: Deteriora sequor:" graver feelings naturally arise, and in proportion to his merits his faults deserve severer castigation.—This statement of the condition of Olynthus at the commencement of her war with Philip is perhaps as exaggerated as the description of the close of her struggle with Sparta, above § 299. See Thirlw. v. 308. — *κεκτημένοι*] Observe the *nominativus pendens*. Cp. § 333. Nicostr. p. 1253 § 20. Here it is more excused by *ἀπολωλέκεσαν* following.

§ 302. The various reading *οὐχ ὑπεῖχεν ὑπακούων* I should render: "Philip could not *present himself* in hearkening to the call of the traitors," as in Plat. Gorg. 497 B *ὑπόσχες Σωκράτει ἐξελέγξαι·* where *παράσχες* would be more natural. Voemel's "non sustinuit obtemperare" I in no wise believe. He quotes Hesych. *ὑπέχει· ὑπομένει.* Surely

ἡγουμένων ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιππος, ὅσους οὐδεὶς πώποτε ἄλλος ἀνθρώπων. καὶ οὔτε τὸν ἥλιον ᾐσχύνοντο οἱ ταῦτα ποιοῦντες οὔτε τὴν γῆν πατρίδα οὖσαν, ἐφ' ἧς ἕστασαν, οὔτε ἱερὰ οὔτε τάφους οὔτε τὴν μετὰ ταῦτα γενησομένην αἰσχύνην ἐπὶ τοῖς τοιούτοις ἔργοις· οὕτως ἔκφρονας ὦ ἄνδρες Ἀθηναῖοι καὶ παρα-
303 πλῆγας τὸ δωροδοκεῖν ποιεῖ. ὑμᾶς οὖν, ὑμᾶς εὖ φρονεῖν δεῖ τοὺς πολλούς, καὶ μὴ ἐπιτρέπειν τὰ τοιαῦτα, ἀλλὰ κολάζειν δημοσίᾳ. καὶ γὰρ ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν Ὀλυνθίους προδόντων πολλὰ καὶ δεινὰ ἐψηφίσασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδικοῦντας μὴ κολάζοντες φαίνοισθε. Λέγε τὸ ψήφισμά μοι τὸ περὶ τῶν Ὀλυνθίων.

| ΨΗΦΙΣΜΑ. 427

304 Ταῦθ' ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ καλῶς 268
πᾶσιν Ἕλλησι καὶ βαρβάροις δοκεῖτε ἐψηφίσθαι κατ'

οὐδ' εἶχεν ὑπακούων τοῖς πρ. ὅ τι πρῶτον λάβῃ quod vide ne a vero proximum sit. Qui *ὑπεῖχεν* primus scripsit, erraverunt oculi ad pr. syll. vocabuli sequentis. De *conjunct.* post *οὐδ' εἶχεν* vid. ad § 131. Mox *ἡγουμένων* S. Y. *ἡγεμόνων* vulgo.——*τοῖς* (ante *τοιούτοις*) om. Bekk. [et st.] Ed. Turic. Dind. Voem. Sed habent articulum F. Q. O. k. r. s. t. u. v. et opinor omnes Lambiniani et Reiskiani, et facile *τοισ* excidit ante *τοιο*.

§ 303. *ψηφίσαισθε* Markl. sensu invito. Vid. not. Infra pro ΨΗΦΙΣΜΑ, *ψηφίσματα* S.

§ 304. Ἕλλησί *τε* F. Y. O. r. t. u. v. vulg. ante Reisk.——

this gloss refers to passages like the one quoted from Plato. Besides what a paltry meaning this rendering gives. I do not understand what the Zurich editors mean by their references to § 51 (57), and § 215 (237). In § 57 they themselves read *ἐπέχοντες*. In § 237 *πάντα τὰκ τῶν νόμων ὑπέχειν* has surely nothing in common with this passage.

§ 303. *μὴ ἐπιτρέπειν*] "Not to overlook, not to put up with." Cp. Thucyd. vi. 40, where the word is used still more *absolutely*, *ὡς πρὸς αἰσθομένους καὶ μὴ ἐπιτρέψοντας*. [See on Thuc. i. 71, 1.]——*εἰ κατὰ μὲν κ.τ.λ.*] "If when you voted many vindictive resolutions...... yet you should be found......" The change of mood is necessary in Greek, while our own language frequently is less precise. Dobr. ~~refers to~~ Porson on

ἀνδρῶν προδοτῶν καὶ θεοῖς ἐχθρῶν. ἐπειδὴ τοινυν τὸ
δωροδοκεῖν πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστὶ καὶ
δι' ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν ἂν ὦ ἄνδρες
Ἀθηναῖοι δωροδοκοῦντα ἴδητε, τοῦτον καὶ προδότην
εἶναι νομίζετε. εἰ δ' ὁ μὲν καιροὺς ὁ δὲ πράγματα
ὁ δὲ στρατιώτας προδίδωσιν, ὧν ἂν ἕκαστος οἶμαι
κύριος γένηται, ταῦτα διαφθείρει· μισεῖν δ' ὁμοίως
269 *τοὺς τοιούτους πάντας προσήκει. ἔστι δ' ὑμῖν, ὦ* 305
ἄνδρες Ἀθηναῖοι, περὶ τούτων μόνοις τῶν πάντων
ἀνθρώπων οἰκείοις χρῆσθαι παραδείγμασι, καὶ τοὺς
προγόνους, οὓς ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι. καὶ
γὰρ εἰ μὴ τὰς μάχας μηδὲ τὰς στρατείας μηδὲ τοὺς
κινδύνους, ἐν οἷς ἦσαν ἐκεῖνοι λαμπροί, συμβαίνει και-
ρός, ἀλλ' ἄγεθ' ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό
270 *γ' εὖ φρονεῖν αὐτῶν μιμεῖσθε. τούτου γὰρ πανταχοῦ* 306
χρεία, καὶ οὐδέν ἐστι πραγματωδέστερον οὐδ' ὀχληρό-

εἰδῆτε Marg. Ed. Lutet. Vid. ad § 284.——Post *ἕκαστος, ὑμῶν* vulg. ante Reisk. qui cum A^1. A^2. omisit. Revocavit Bekk. [et st.] e F. S. Y. Q. t. v. Habent etiam Ed. Turic. Dind. Voem. Equidem omisi; quid enim sibi velit, parum liquet. Puto librarios inseruisse, quibus *τὰ δικαστήρια πάντων κύρια εἶναι* compertum erat. Sed *ὧν ἕκαστος ὑμῶν κύριός ἐστι* dixisset Orator, neque tum non inepte adderetur. Potest etiam *ὑμῶν* propter *οἶμαι* irrepsisse, $\overline{υ}$ et $\overline{οι}$ confusis. Infra *πάντας* S. k. s. A^1. *ἅπαντας* vulgo.

§ 305. *καὶ γὰρ* om. F. Y. Q. t. v. B. in *γρ.* habet S. om. Ed. Turic.——*στρατιὰς* k. r. s. A^1. Marg. Ed. Lutet. Vid. ad § 278.——*συμβαίνει καιρὸς* F. S. Y. Q. v. *συμβαίνειν καιρὸς* t. *ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς* vulgo. *ἐν τοῖς νῦν συμβαίνει καιροῖς* m. sec. in marg. S.

Phoeniss. 91, Schaefer to Melet. Critic. p. 111, where he cites Plat. Apol. 28 E.

427. § 304. *εἰ δ' ὁ μὲν καιρούς κ.τ.λ.*] "If one betrays opportunities, another interests, another soldiers, those things of which each may have become supreme manager, these he destroys." I cannot but agree with Schaefer in omitting *ὑμῶν*.

§ 305. *καὶ γὰρ εἰ μή κ.τ.λ.*] "For even if (to imitate) their battles, their expeditions, the hazards wherein they were distinguished,——an opportunity does not now occur, but you are at peace at the present time, at least imitate their good sense." See below on § 331.

τερον τὸ καλῶς φρονεῖν τοῦ κακῶς, ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος ὑμῶν ἕκαστος, ἂν μὲν ἃ χρὴ γιγνώσκῃ περὶ τῶν πραγμάτων καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πόλει καὶ ἄξια τῶν προγόνων πράξει, ἂν δ' ἃ μὴ δεῖ, φαυλότερα καὶ ἀνάξια τῶν
307 προγόνων ποιήσει. τί οὖν ἐκεῖνοι περὶ τούτων ἐφρόνουν; ταυτὶ λαβὼν ἀνάγνωθι, γραμματεῦ· δεῖ γὰρ ὑμᾶς εἰδέναι ὅτι ἐπὶ τοῖς τοιούτοις ἔργοις ῥᾳθυμεῖτε, ὧν θάνατον κατεγνώκασιν οἱ πρόγονοι. λέγε.

| ΣΤΗΛΗ. 428

308 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν γραμμάτων λε- 271
γόντων Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος πᾶν. διὰ τί; ὅτι τὸν

§ 306. φλαυρότερα r. Vid. not. Mox τε καὶ F. Y. Q. O. B. Reisk.

§ 307. Pro εἰδέναι, ἰδεῖν S. Ed. Turic. Dind. Voem. Bekk. st. Vid. § 284.——ΓΡΑΜΜΑΤΑ ΕΚΛΟΓΗΣ S. Y. O. t. u. v. ΓΡΑΜΜΑΤΑ ΕΚ ΣΤΗΛΗΣ Marg. Ed. Lutet. Ed. Turic. Voem.

§ 308. καὶ γένος om. pr. S. add. antiq. Post χρυσὸν, τὸν om. F. S. Y. Q. O. t. u. v. B. Voem. Bekk. st. Quibus si quis obsequatur, vide ne τὸν ante χρυσὸν omittendum sit. Voem. citat

§ 306. ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ κ.τ.λ.] It takes up no more time to vote useful and salutary, than bad and degenerate measures.——φαυλότερα] Phot. p. 650, 19 *Ed. Porson*. φλαῦρον: ἢ κοῦφον κακόν· διαφέρει γὰρ φλαῦρον καὶ φαῦλον· φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν κακόν· φαῦλον δὲ τὸ μέγα. So Etym. Magn. p. 789, 49 in nearly the same words. There is some truth in this distinction of the Grammarians. φλαῦρος generally follows verbs of *speaking*, and is equivalent to "derogatory, depreciating, disparaging." But see Mid. p. 579 § 203 ἂν δέ τι φλαῦρον (ἀπαγγελθῇ τῇ πόλει), Aristocr. p. 651 § 92 ἥ γε πόλις φλαῦρον οὐδὲν πείσεται κατὰ τὸ ψήφισμα τοῦτο, Timocr. p. 749 § 158 ὅτι οὐδὲν αὐτῷ γενήσοιτο φλαῦρον ἀπὸ τῆς γραφῆς τῆσδε.

428. § 308. Arthmius of Zelea (a town in the Troad mentioned by Homer Il. II. 824) was branded with infamy (στηλίτης) at the proposal of Themistocles, as we learn from Plut. T. I. p. 114 E. Demosthenes alludes to this also III. Philipp. p. 121 § 42. In § 43 he calls him δοῦλον βασιλέως, to which Harpocration refers in Ἄρθμιος: ὄνομα κύριον, δοῦλός [τινος] βα-

χρυσὸν τὸν ἐκ τῶν βαρβάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. οὐκοῦν ἔστιν, ὡς ἔοικεν, ἐκ τούτων ἰδεῖν ὅτι οἱ πρόγονοι μὲν ὑμῶν ὅπως μηδ' ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι μηδὲν ἐργάσεται κακὸν τὴν Ἑλλάδα ἐφρόντιζον, ὑμεῖς δὲ οὐδὲ τὴν πόλιν αὐτὴν ὅπως μηδεὶς
τῶν πολιτῶν ἀδικήσει προορᾶσθε. νὴ Δί' ἀλλ' ὅπως 309
272 ἔτυχε ταῦτα τὰ γράμμαθ' ἕστηκεν. ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν, ἣν ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, δόντων τῶν Ἑλλήνων τὰ χρήματα ταῦτ', ἀνέθηκεν. τότε μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ

Dinarch. c. Aristog. vers. fin. (de eodem Arthmio) *κομίσαι τὸ χρυσίον ἐκ Μήδων*. Sed ibi *φασὶν* praecedit et recte "significat *notum* illud." Infra idem Dinarch. *γράψαντες διαῤῥήδην......ὅτι τὸν ἐκ Μήδων χρυσὸν κ.τ.λ.* [ut Aeschin. (bis) *τὸ ἐκ Μήδων χρυσίον*]. Potuit *ἡ στήλη* dicere (*τῶν γραμμάτων λεγόντων*) *τὸν χρ. τὸν ἐκ τῶν β.* vel *τὸν ἐκ τῶν β. χρ.*, *τὸν χρ. ἐκ τῶν β.* non potuit. Hoc *rumor* potuit loqui.——*ἡμῶν* F. S. Y. Q. O. r. t. u. v. Infra *ἐργάσεται* S. Y. A¹. et pr. k. *ἐργάσηται* vulgo, quod superscr. in S.
η
ἀδικήσει F. S. Y. k. A¹. *ἀδικήσει* s. *ἀδικήσῃ* vulgo.

§ 309. *πόλεως* k. Vid. Thucyd. II. 15 *καλεῖται......ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις.* Apud Demosthenem tamen *πόλις* sic usurpatum non memini.——*ἐκ δεξιᾶς* S. Y. Q. k. s. A¹. *δεξιᾶ* u. *ἐν δεξιᾷ* vulgo.——*τὰ χρήματα* [*ταῦτα*] Dobr.

σιλέως. See also Aesch. de Coron. § 258 p. 90 St. = 647 R. Dinarch. c. Aristog. § 24 p. 108 S. = 90 R.——*ἄλλος ἀνθρώπων*] from its opposition to *τῶν πολιτῶν*, means: "an inhabitant of another country." See § 351.

§ 309. *νὴ Δί' ἀλλ'*...] "Yes but, it will be argued, this inscription stands anywhere (i. e. it is left in some obscure room or other, neglected and unnoticed by everybody). On the contrary...its place is beside the bronze statue, the large statue of Minerva." See § 29. For *νὴ Δία* see §§ 174, 245.——*ὅπως ἔτυχε*, a euphemism. Cp. Plat. Gorg. 514 E *πολλὰ μὲν ὅπως ἐτύχομεν ποιῆσαι* (= *ἁμαρτεῖν*) *πολλὰ δὲ κατορθῶσαι*, Eur. Hippol. 929 *τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν* (= *ἄδικον*). So *ὅπως ἐδύνατο* § 279 (*any how he could*). For the repetition of the article, see on § 29.——*τότε μὲν τοίνυν*] Schaefer directs attention to the particle *τοίνυν* recurring thrice in three consecutive sentences, and compares de Coron. p. 317 §§ 274, 275. It has already been remarked that *τοίνυν* is used either *in continua-*

δίκαιον καὶ τὸ κολάζειν τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο στάσεως τό τε ἀριστεῖον τῆς θεοῦ καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτ' ἀδικούντων
310 τιμωρίαι· νῦν δὲ γέλως, ἄδεια, αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς. νομίζω τοίνυν 273 ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ καθ' ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν, ἀλλὰ καὶ
311 κατὰ πάντα ὅσα ἔπραττον ἐφεξῆς. ἐκεῖνοι τοίνυν, ὡς ἅπαντες εὖ οἶδ' ὅτι τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων θρυλου-

§ 310. αἰσχύνη om. S. Ed. Turic. Voem. Bekk. st. Injuria, opinor; quanquam Dobr. quoque omissum mavult. *Judicii* (vid. ad § 219) Reiskiani apto exemplo sit ejus emendatio: νῦν δὲ γέλως, ὅση ἄδεια Αἰσχίνῃ.

§ 311. λόγον ("in erasis 9 literis sed scriptum prima manu" Voem.) S. Mox θρυλουμένην F. S. Y. Q. k. A[1]. θρυλλουμένην

tion or as *a particle of inference.* ——τῆς αὐτῆς...στάσεως] "Of the same position," i. e. to stand in the same place, to be placed close to one another. —— αἱ τιμωρίαι] i.e. ἡ στήλη· as τὰ γράμματα above.

§ 310. ἐξουσίαν] "License." See § 222, Mid. p. 559 § 138.

§ 311. ταύτην τὴν ὑπό......] "After having on his embassy negotiated (see § 147) that peace which is in the mouth of all, 'that the king of Persia should not come down to the sea coast within a day's journey for a horse, nor sail with a ship of war within the Chelidonian rocks and Cyaneae,' because he was adjudged, &c." This peace was negotiated 470 B.C. [466 *Clint.*] after the two-fold victory on the river Eurymedon in Pamphylia (briefly alluded to by Thucyd. I. 100) as we learn from Lycurg. c. Leocr. § 73 p. 157 St. = 187 R. ἐπ' Εὐρυμέδοντι δὲ καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες ἐνίκησαν,...συνθήκας ἐποιήσαντο μακρῷ μὲν πλοίῳ μὴ πλεῖν ἐντὸς Κυανέων καὶ Φασήλιδος (ὥστε μακρὸν πλοῖον ἐπὶ τάδε Φασήλιδος μὴ καθέλκειν Isocr. Paneg. p. 65 b), Diodor. Sic. XII. 4 (where see Wesseling), and Plutarch Vit. Cimon. T. I. p. 486 E τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάττης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλεῖν. καίτοι Καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης, καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα, καὶ τριάκοντα μόναις Ἐφιάλτην ἐπέκεινα πλεῦσαι Χελιδονίων, καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. ἐν δὲ τοῖς ψηφίσμασιν ἃ συνήγαγε Κρατερός, ἀντίγραφα συνθηκῶν ὡς γενομένων ἀντικατατέτακται.

μένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας
429 πεζῇ μὴ καταβαίνειν | ἐπὶ τὴν θάλατταν βασιλέα,
ἐντὸς δὲ Χελιδονίων καὶ Κυανέων πλοίῳ μακρῷ μὴ
πλεῖν, ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν
ἀπέκτειναν, ἐν δὲ ταῖς εὐθύναις πεντήκοντα ἐπράξαντο
274 τάλαντα. καίτοι καλλίω ταύτης εἰρήνην οὔτε πρότε- 312
ρον οὔθ' ὕστερον οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν
πόλιν. ἀλλ' οὐ τοῦτ' ἐσκόπουν, τούτου μὲν γὰρ ἡγοῦντο
τὴν αὐτῶν ἀρετὴν καὶ τὴν τῆς πόλεως δόξαν αἰτίαν
εἶναι, τοῦ δὲ προῖκα ἢ μὴ τὸν τρόπον τοῦ πρεσβευτοῦ·
τοῦτον οὖν δίκαιον ἠξίουν παρέχεσθαι καὶ ἀδωροδόκη-
275 τον τὸν προσιόντα τοῖς κοινοῖς. ἐκεῖνοι μὲν τοίνυν 313
οὕτως ἐχθρὸν ἡγοῦντο τὸ δωροδοκεῖν καὶ ἀλυσιτελὲς
τῇ πόλει, ὥστε μήτ' ἐπὶ πράξεως μηδεμιᾶς μήτ' ἐπ'
ἀνδρὸς ἐᾶν γίγνεσθαι· ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι,
τὴν αὐτὴν εἰρήνην ἑωρακότες τὰ μὲν τῶν συμμάχων
τῶν ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν πρέσβεων
οἰκίας οἰκοδομοῦσαν, καὶ τὰ μὲν τῆς πόλεως κτήματα

vulgo. τὴν (ante θάλατταν) om. F. Q. r. A². [τὴν] Reisk.——Χελειδονειων S. Χελιδοναίων s. A¹. Χελιδονίαι πέτραι Steph. Byzant. Χελιδονίων Plutarch. T. i. p. 487 A. κυανεων S. Χελιδονεῶν καὶ Κυανεῶν Dind.

§ 312. ἑαυτῶν vulg. ante Bekker. αυτῶν (sic) S.

φασὶ δὲ καὶ βωμὸν εἰρήνης διὰ ταῦτα τοὺς Ἀθηναίους ἱδρύσασθαι, καὶ Καλλίαν τὸν πρεσβεύσαντα τιμῆσαι διαφερόντως. The last words are strangely at variance with the tradition of Demosthenes. [For the discussion of the question raised as to the genuineness of this document (see Theopompus ap. Harpocrat. Ἀττικοῖς γράμμασι) the reader is referred to Thirlwall, Vol. III. p. 37, 38, Grote, Vol. V. p. 455—462, Ed. 2, Niebuhr's Lectures on Ancient History, Vol. II. p. 5, 6.] The *Chelidoniae Insulae* (or πέτραι as Steph. Byz. calls them) lie off the Sacrum Promontorium in Lycia; the *Cyaneae* (or Symplegades, so well known from the mythic narrative of the Argonauts) are situate in the Euxine, at the North entrance of the Thracian Bosporos, or channel of Constantinople.

429. § 311. μικροῦ μὲν ἀπέκτειναν κ.τ.λ.] For a similarly worded sentence comp. Timocr. p. 743 § 138.

§ 313. τὴν αὐτὴν εἰρήνην κ.τ.λ.] "Having seen that the peace *at the same time* (τὴν αὐτήν) has

ἀφῃρημένην, τούτοις δ' ἃ μηδ' ὄναρ ἤλπισαν πώποτε κτησαμένην, οὐκ αὐτοὶ τούτους ἀπεκτείνατε ἀλλὰ κατηγόρου προσδεῖσθε, καὶ λόγῳ κρίνετε ὧν ἔργῳ τἀδικήματα πάντες ὁρῶσιν.

314 *Οὐ τοίνυν τὰ πάλαι ἄν τις ἔχοι μόνον εἰπεῖν, καὶ* 276 *διὰ τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακαλέσαι· ἀλλ' ἐφ' ὑμῶν τουτωνὶ τῶν ἔτι ζώντων ἀνθρώπων πολλοὶ δίκην δεδώκασιν, ὧν ἐγὼ τοὺς μὲν ἄλλους παραλείψω, τῶν δ' ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω κακὰ τὴν πόλιν εἴργασται, θανάτῳ ζημιωθέντων ἑνὸς ἢ δυοῖν ἐπιμνησθήσομαι. Καί μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών.*

| ΨΗΦΙΣΜΑ. 430

315 *Κατὰ τουτὶ τὸ ψήφισμα ὦ ἄνδρες Ἀθηναῖοι τῶν* 277 *πρέσβεων ἐκείνων, ὑμεῖς θάνατον κατέγνωτε, ὧν εἷς ἦν Ἐπικράτης, ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος καὶ πολλὰ χρήσιμος τῇ πόλει καὶ τῶν ἐκ*

§ 313. *ἀποκτενεῖτε* F. Q. k. r. s. ε^m. A[1]. B. Harl. "quae proba erit locutio (ait Taylor.) si interrogative sumas hanc periodum."

§ 314. *πάλαι* S. Y. *παλαιὰ* vulgo. *παλαί'* Cobet. Var. Lect. p. 384 "nam dicitur *οἱ πάλαι* sed *τὰ πάλαι γενόμενα* aut *τὰ παλαιά*." Contra citat Voemel. Soph. Oed. R. 916. In Lept. § 81 p. 482 *παλαιὰς* vulg. sed *πάλαι* S. alii optimae notae libri. Idem Cobet. *τῶν ἔτι ζώντων ἀνθρώπων* "absurdum additamentum" appellat. ——Pro *κακά*, *κατὰ* S. O. t. *δυεῖν* r. s. B. "Sic ille si bene memini ubique" Reisk.

destroyed the fortresses of your allies and is building the houses of your ambassadors, has carried off our country's possessions, and earned for them (the envoys) what they never expected even in a dream." There is probably an allusion to the proverb *ὄναρ πλουτεῖν* Plat. Theaet. 208 B, Lysis 218 C.

430. § 315. Harpocration: *Ἐπικράτης*: *Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγὸς ὁ Σακεσφόρος* [*the man with the beard:* see Aristoph. Ecclesias. 71 *κἄγωγ' Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα* (*πώγωνα*) and the Scholiast who quotes from Plat. Comic. *ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε.* See more in Maus-

Πειραιῶς καταγαγόντων τὸν δῆμον καὶ ἄλλως δημοτικός. ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων, δικαίως· οὐ γὰρ ἐφ' ἡμισείᾳ χρηστὸν εἶναι δεῖ τὸν τὰ τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδὲ τὸ πιστευθῆναι προλαβόντα παρ' ὑμῶν εἰς τὸ μείζω δύνασθαι κακουργεῖν καταχρῆ-
278 σθαι, ἀλλ' ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα. εἰ τοίνυν 316
τι τούτοις ἄπρακτόν ἐστι τούτων ἐφ' οἷς ἐκείνων θάνατος κατέγνωσται, ἐμὲ ἀποκτείνατε ἤδη. σκοπεῖτε γάρ. ἐπειδὴ παρὰ τὰ γράμματα φησὶν ἐπρέσβευσαν ἐκεῖνοι, καὶ τοῦτ' ἐστὶ τῶν ἐγκλημάτων πρῶτον. οὗτοι δὲ οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν ψήφισμα Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις,

§ 315. οὐ γὰρ ἐφ' ἡ. om. pr. S. in fine lineae, altera linea incipit μισει αι δει. Deficientia supplevit m. antiqua.——τά, ante τηλικαῦτα, om. Y. s. A[1]. "In S. primo omissum supplevit m. prima" Dind. "Add. antiq. non ut videtur ipse primus scriba" Voem. Habent Dind. Voem.

§ 316. κατέγνωται t.——ἐκεῖνοι, [καὶ τὸ ψήφισμα] Bekk. [om. st.] om. k. s. A[1]. καί om. S. Dind. (qui in annot. τὸ ψήφισμα quoque deletum vult) Voem. [qui retinet τὸ ψήφισμα]. Recte Schaefer.: "margini olim adscripta ad interpretandum verbum φησὶν post in textum irrepserunt. Docet etiam optimus Bekkeri liber, qui cum habeat τὸ ψήφισμα, caret particula καί." Post Ed. Turic. delevi. Cf. Plat. Phaedr. 258 A ubi similiter αὐτὸ τὸ σύγγραμμα irrepsit.——τὸ πρῶτον praeter S. libri. Si omnes retinerent, neutiquam stare potest.——συμμάχοις [εἶναι κελεύει

sac. on Harpocrat.] οὐ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. He was sent as ambassador to the court of Persia, and was so pleased with his reception that he declared upon his trial that a proposal ought to be made to elect yearly not nine archons, but nine ambassadors to the great king. Plutarch, T. I. p. 294 E, Athen. VI. 251 B (who, in contradiction to our Orator, tells us that the Athenians τοῦτον ἄκριτον εἴασαν). His embassy is alluded to by Plat. Com. in Πρέσβεσι, ap. Athen. VI. 229 F κατέλαβον Ἐπικράτης τε καὶ Φορμίσιος | παρὰ τοῦ βασιλέως [see *Annot. Crit.* § 150] πλεῖστα δωροδοκήματα, | ὀξύβαφα χρυσᾶ καὶ πινακίσκους ἀργυροῦς. After writing this note I find I have been anticipated in my references by Meineke Fragm. Com. Vol. I. 182, 183. Another Epicrates is mentioned below under his nickname Κυρηβίων § 329.

§ 316. ἐπειδὴ παρά κ.τ.λ.] "Since, as the psephism says, they acted on the embassy in violation of their instructions ......Did not the psephism (say) for Athenians and their allies,

317 οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; οὐ τὸ μὲν
ψήφισμα τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλεσιν,
οὗτοι δέ, οὓς Φίλιππος αὐτοῖς προσέπεμψε, τούτους
ὥρκισαν; οὐ τὸ μὲν ψήφισμα οὐδαμοῦ μόνους ἐντυγχά-
νειν Φιλίππῳ, οὗτοι δ' οὐδὲν ἐπαύσαντο ἰδίᾳ χρημα-
318 τίζοντες; καὶ ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ 279
βουλῇ οὐ τἀληθῆ ἀπαγγέλλοντες. οὗτοι δέ γε
καὶ ἐν τῷ δήμῳ. καὶ ὑπὸ τοῦ; τοῦτο γάρ ἐστι τὸ
λαμπρόν. ὑπ' αὐτῶν τῶν πραγμάτων· οἷς γὰρ ἀπήγ-
γειλαν οὗτοι, πάντα δήπου γέγονε τἀναντία. οὐδ'
319 ἐπιστέλλοντες | φησὶ τἀληθῆ. οὔκουν οὐδ' οὗτοι. 431
καὶ καταψευδόμενοι τῶν συμμάχων καὶ δῶρα
λαμβάνοντες. ἀντὶ μὲν τοίνυν τοῦ καταψευδό-

τὴν εἰρήνην] BEKK. [om. st. et ceteri] om. S. k. s. A¹. "Si deleas, sententia fit manca" SCHAEF. Noli credere: *φησὶν* facile subintelligi potest.

§ 317. Omnes ut videntur libri in *ὁρκοῦν......ὥρκισαν* consentiunt. "Vellem Codex (ait SCHAEF.) *ὥρκωσαν* offerret." Sed Graecorum levitas non modo structuras et vocabula sed et ipsam orthographiam passim mutantium satis nota est. Plat. Theaet. 198 D *πρὶν ἐκτῆσθαι τοῦ κεκτῆσθαι ἕνεκα*, 199 A *ὅ μέν τις ἔκτηται μὴ κεκτῆσθαι* documento sufficiant. Vid. Lob. ad Phryn. p. 762. De *ὁρκοῦν* et *ὁρκίζειν* docte scripsit idem p. 360, 361.——*μόνους μόνῳ* Cobet. Var. Lect. p. 112, coll. de Coron. p. 273, 1. Vid. nos *Journal of Philology*, Vol. IV. p. 310.

§ 319. *τοῦ καταψεύδεσθαι* omnes praeter S. s. A¹. Vid. ad § 176. *δεινότερον τοῦ καταψεύσασθαι* S. Y. Q. *δεινότερον τοῦ καταψεύδεσθαι* O. k. r. s. t. A¹. *τοῦ καταψεύσασθαι δεινότερον*

and they declare the Phocians to be excluded from the terms of the treaty? &c." The first *τὰ γράμματα* refers to the instructions given to Epicrates and his colleagues, the second to those of Aeschines and his co-ambassadors. Reiske misunderstood the sense. Throughout the passage the two embassies are contrasted.

§ 317. *χρηματίζοντες*] Not to be confounded with the middle *χρηματιζόμενοι* (*money-making*) but "transacting business, concocting schemes with." The ordinary sense of the word is "to bring forward a measure in the ecclesia," corresponding to *referre* in Latin.

§ 318. *οὗτοι δέ γε*] "And these *too*." See on § 102. —— *τὸ λαμπρόν*] "For this is *the* grand argument." See § 130.

431. § 319. *ἀντὶ μὲν τοίνυν κ.τ.λ.*] "Instead then of the word 'belying' (read) 'having entirely ruined'." See § 176.

μενοι παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δήπου τοῦτο δεινότερον τοῦ καταψεύσασθαι. ἀλλὰ μὴν ὑπέρ γε τοῦ δῶρα εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐξελέγχειν λοιπὸν ἂν ἦν, ἐπειδὴ δ' ὁμολογοῦσιν, ἀπάγειν δήπου προσῆκεν. τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι; τούτων οὕτως 320
ἐχόντων ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ καί τινες αὐτῶν ἔτι ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου καὶ τὸν ἐκ Πειραιῶς, Ἐπικράτην, ἐκπεσεῖν καὶ κολασθῆναι, καὶ πάλιν πρῴην Θρασύβουλον ἐκεῖνον τὸν Θρασυβούλου τοῦ δημοτικοῦ καὶ τοῦ ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον, τάλαντα δέκα ὠφληκέναι, καὶ τὸν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος καὶ 321

vulgo. Mox τὸ λοιπὸν ἂν ἦν F. Q. O. r. s. t. u. v. In S. ἂν ἦν λοιπόν. Vid. *Ann. Cr.* § 247.——ὡμολόγουν S. Q. Ed. Turic. Dind. Voem. Bekk. st. Librariis emendantibus puto deberi. ——Mox προσήκει k. a^m. [de s. tacet Bekk.] ϵ^m. A¹. A². "Mihi placet προσήκει" Schaef. Paene reposueram: sed fortasse defendi potest *imperfectum* et in § 323 omnes habent.

§ 320. ἐξ ἐκείνων τῶν ἀνδρῶν mavult Dobr.——τῶν ἐκ Πειραιῶς pr. A¹. Dind. Sed vid. ad § 99. Πειραέως S. Y. "ut saepe" (ait Bekk.). Receperunt Ed. Turic. "In Codicibus notae tam bonae vix expectaveris" Schaefer.——Θρασύβουλον ἐκεῖνον τοῦ om. Y. et pr. S.——Post δημοτικοῦ, υἱὸν add. F. Q. O. r, t. u. v. Mox καὶ om. Dind.

§ 321. καὶ Ἀριστογείτονος om. S. ["in quo manus antiqua

——ὑπέρ γε τοῦ......] See § 7. Translate: "However, at all events, touching the allegation that they have received bribes, assuming they denied it, it would have remained to sift out the matter, but since they admit it, surely you ought to have summarily proceeded against them (and not to wait for a trial)." There is some degree of exaggeration in this: Philocrates I conceive alone admitted the charge (§ 129), though Demosthenes chooses to extend his confession to the rest of the ambassadors. προσῆκεν (not προσήκει) is probably used to qualify the exaggeration. Voemel "ad supplicium sane abripi decet," confounding the imperfect with the present.

§ 320. τὸν μὲν εὐεργέτην κ.τ.λ.] The apodosis is found in § 322 τὸν δὲ Ἀτρομήτου...See on § 250. Here the protasis is repeated τούτους μὲν......§ 321.——ἐκπεσεῖν· either "forfeit your favour" (literally "be hissed off the stage," de Coron. p. 315 § 265, Plat. Gorg. 517 A), or "be banished." There is the same ambiguity in Androt. p. 593 § 1. Here I am led to prefer the former by the position of κολασθῆναι.

τῶν τὰ μέγιστ' ἀγαθὰ ὑμᾶς εἰργασμένων, οὓς νόμῳ διὰ τὰς εὐεργεσίας, ἃς ὑπῆρξαν εἰς ὑμᾶς, ἐν ἅπασι τοῖς ἱεροῖς ἐπὶ ταῖς θυσίαις σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποίησθε καὶ ᾄδετε καὶ τιμᾶτε ἐξ ἴσου
322 τοῖς ἥρωσι καὶ τοῖς θεοῖς, τούτους μὲν πάντας τὴν ἐκ 281
τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην μήτ' ἔλεον μήτε παιδία κλάοντα ὁμώνυμα τῶν εὐεργετῶν μήτ' ἄλλο μηδὲν αὐτοὺς ὠφεληκέναι, τὸν δὲ Ἀτρομήτου τοῦ γραμματιστοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέ-

supplevit" Dind.] k. s. A[1]. Ed. Turic. Voem. Bekk. st. Eandem varietatem praebent libri in Leptin. p. 462 § 20. Mox [καὶ] τῶν Bekk. [καὶ st.] om. δ[m]. Dind. Delendum censent Markl. Taylor. Schaef. Vid. not.——ὑμᾶς εἰργασμένων correctus k. ἡμᾶς εἰργασμένων S. Y. Q. r. ἡμᾶς ἐργασμένων O. t. u. v. εἰργασμένων, om. pronomine, A[1]. ἐργασμένων ὑμᾶς vulgo. Mox ὑμᾶς k. r. s. A[1]. ἡμᾶς vulgo.

§ 322. κλαίοντα S. A[1]. κλᾴονθ' Voem. Post οὐδένα τῶν τούτου, ἀφήσετε ponunt F. S. Y. Q. O. t. u. v. vett. Edd. Ed. Turic. Dind. Voem. Bekk. st. utrobique ponit r.

